laevorem terendo redigendus, et ejus decem drachmae in duabus aquae heminis coquendae, donec ad sorbitionis crassitudinem perveniant. sed cum hoc subterendae quoque sunt, aut amygdalae, aut cucumeris semen. atque iis, qui febrem non habent, confringes ad similae, aut alicae magnitudinem, et brevi tempore macerabis, ac decem ejus drachmis tres aquae semiheminas affundes, et aliquid eorum, quae dicta sunt, contundes, et ad spissitudinem alicae rediges, et ex melle, vel, ut aegrotanti placebit, propinabis. Valebit etiam ad ventriculos, qui non concoquunt, quique flatibus torquentur: et qui nimium humecti sunt, idque vel per se, vel cum lentibus. Praeterea ad aluum consistentem in maiore gallinacei iuris portione macerabis, aut decoques.

Quomodo ex amylo, et reliquis subsidentia fiant. Cap 8.

Ex omnibus leguminibus, quemadmodum ex amylo subsidentia conficiuntur. fiunt autem hoc modo. Similam quam purgatissimam capimus, leviter maceratam lavamus, linteo ex copiosissima aqua percolamus: collam, ut maxime fieri potest, auferimus: in vase fictili subsidere permittimus, aquam deinde percolamus, aliamque eodem modo affundimus: tum ita faciendo usque eo permutamus, dum id, quod excolatur, purum fit. postremo vero subsidentia extrahimus, atque in vase fictili ad solem, donec perfecte sicca sint, exsiccamus.

Περὶ τοῦ ἐξ 5) ὀρόβων.

Ὡσαύτως δὲ καὶ τὸν [ὄροβον] δεῖ ποιεῖν, καὶ μάλιϛα τὸν λευκὸν, ἐρίξαντα 6) καὶ ἀποβράσαντα τὸ ἄχυρον βρέχειν καὶ τρίβειν λεῖον, διέντα δὲ ὕδατι. πλείονι ἀποχεῖν πολλάκις τῆς ἡμέρας, ἕως καθαρὸν τὸ ἀποχεόμενον ᾖ, καὶ ξηράναντα ἀποθέσθαι. χρήσαιο δ' ἂν τούτῳ ἐπὶ ἐμπύων, εἰς τὸ ἕψημα μίσγων, πρὸς τὸ ἀναπτύειν, ἢ γυναικὶ εἰς κάθαρσιν καὶ εὐσαρκίαν καὶ εὔχροιαν, ἐν οἰνομέλιτι διδοὺς καὶ μετὰ ἀλφίτου. ἱκανὸν δὲ ὀξύβαφόν ἐϛιν ἐρεγμοῦ 8) τῷ ὑγιαίνοντι καὶ ἀνδρὶ καὶ γυναικί.

De iis, quae ex eruo fiunt.

Eodem modo in eruo faciendum eſt. praecipue autem album freſum, et cum feruendo acus abiecit, madefaciendum eſt, et conterendum ut laevum reddatur. quod cum copioſiore aqua eliquatum fuerit, abiicienda per diem aqua eſt perſaepe, donec ea, quae effunditur, pura ſit. atque ita ſiccabis, et repones. hoc uteris ad ſuppuratos: itemque ad mulierum purgationem, carnem augendam, et bonum colorem comparandum: idque ex vino mulſo, vel polenta propinabis: ex quo ſatis erit acetabulum et viro, et foeminae, bene valentibus.

Περὶ τῶν ἀπὸ τῆς φακῆς.

Γίγνεται δὲ καὶ φακοῦ ὑπόϛασις, ἐριχθέντος τὸν αὐτὸν τρόπον καὶ βραχέντος 9), καὶ τριφθέντος, καθάπερ ὄροβος, καὶ ἀποχυθέντος τοῦ ὕδατος, ἕως ἂν καθαρὸν τὸ ἀπηθούμενον γένηται. ξηρανθεῖσα δ' 10) ὑπόϛασις μίσγοιτ' ἂν πρὸς τὰ ἑψήματα τοῖς κατὰ κοιλίαν ἐνοχλουμένοις, μάλιϛα καὶ πρὸς κέγχρον, καὶ πρὸς ἄρτον ξηρὸν, καὶ πρὸς πτισάνην, ἢ πρὸς πλείω δ' ἄλλα ἄν τις κεταχρήσαιτο τῶν ἑψημάτων. τὰ δὲ ἀπὸ τῶν ὀσπρίων ἑψήματα ἀχρειότερά ἐϛι τῶν προειρημένων ἑψημάτων τοῖς πυρέσσουσιν. ἀμφότερα γὰρ καὶ φυσωδέϛερα τυγχάνει ὄντα. χρήσαιτο δ' ἄν τις ἐρέγμινον 11) ποιήσας ἐξ ὠμῶν τῶν ὀσπρίων.

De iis, quae fiunt ex lentibus.

Fiunt etiam ex lentibus ſubſidentia, cum feruendo acus abiecerunt, madueruntque, ac contuſae, ut de eruo dictum eſt, fuerunt: et aqua uſque abiecta, dum ea, quae exit, pura ſit. haec ſubſidentia ſiccata miſcebis decoctionibus in iis, quos turbata aluus vexat, et praeſertim poſt milium, poſt panem ſiccum, poſt ptiſſanam, et poſt alias complures ſorbitiones, quibus aliquis uſus eſſet. Iam decoctiones, quae ex leguminibus fiunt, incommodiores febricitantibus ſunt, quam praedictae: quippe quae et minus alant, et flatus magis cieant. Uteretur etiam quiſpiam eiſdem ex crudis leguminibus lomenta conficiens.

5) Late de hoc exponit Dioscor. II, 131. p. 132.
6) Ab ἐρίκω: Mox proximo capite eſt, ἐριχθέντος. Notat autem σχίζειν. Dicitur etiam ἐρέικειν, quod vide apud Hippocratem in Oecon. Foës. Ἐρέικειν Galen. in Glossis p. 74 explicat θράυειν.
7) Sic Alciphr. p. 96. ἀποβράσαντα τὸ δριμύ.
8) v. Erotian p. 50. et Galen. in Glossis. p. 74.
9) A βρέχω.
10) Interpoſuerim, ἡ.
11) Ἄλευρον ἐρέγμινον memorat Dioscor. III, 94. p. 212. E.

Περὶ κυαμίνου ἐρεγμοῦ.

Τῷ μὲν κυαμίνῳ ἐρεγμῷ, εἰ βούλοιο ἄφυσον 12) ποιεῖν, ἐπιχέας πλεῖον. ὕδωρ ἕψειν. ἐπειδὰν δὲ ἀναφρίξῃ καὶ διέφθος γένηται, ἀποχέας ἅπαν, μίξον πάλιν θερμόν. εἴη δ' ἂν ἱκανὸν τῷ τεταρτημορίῳ τῆς χοίνικος, τῷ ἤδη ἀπέχθῳ 13) γεγενημένῳ, δύο κοτύλαι μιχθεῖσαι ὕδατος καὶ ἐλαίου. χρήσαιο δ' ἂν τούτῳ πρός τε τὰς κορύζας καὶ καταῤῥους, μίσγων κηρίου τι. χρήσαιο δ' ἄν τις καὶ πρὸς δυσεντερίας καὶ τεινεσμούς, λιπαρώτερον αὐτὸ ποιῶν, καὶ οὐ προαφεψῶν, οὐδ' ἀποχέων τὸ ὕδωρ. μίσγοιτο δ' ἂν εἰς αὐτὸ καὶ μυελὸς καὶ κηρὸς καὶ τυρὸς, μάλιστα ὁ φρυκτὸς, καὶ τὸ ἔλαιον πλεῖον, 14) οἷς βουλόμεθα ἔκκοπρον. μίσγοιτο δ' ἂν ὀρεγμὸς 15) καὶ πρὸς πτισάνην καὶ πρὸς φακὸν τοῖς τεινεσμώδεσι καὶ δυσεντερικοῖς. ἕψοιτο δ' ἂν ὁ μὴ ἄπεφθος ἐρεγμὸς τὸ τεταρτημόριον τῆς χοίνικος ἐν ἓξ κοτύλαις ὕδατος. τὸ δὲ πίσινον 16) ἔτνος, ἀφυσάτερον τοῦ κυαμίνου τυγχάνει ὂν, καὶ εὐκατεργαστότερον. διὸ καὶ μᾶλλον τοῖς ἀῤῥωστοῦσι προσενέγκαιτο ἄν τις. δοίη δ' ἄν τις τοῦτο καὶ πρὸς τοὺς καταῤῥους καὶ βηχώδεσιν. ἕψοιτο δ' ἂν καὶ τοῦτο 17) τὸ τεταρτημόριον τῆς χοίνικος ἐν ἓξ κοτύλαις ὕδατος. τὸ δ' ἐκ τῶν φασίλων 18) ἔτνος, γλυκύτατον τυγχάνει πάντων δυσέψητον δὲ καὶ τἄλλα ἔχον παραπλήσια τοῖς εἰρημένοις. ἕψεται δὲ καὶ τοῦτο ἐν τῷ ἴσῳ ὑγρῷ. τὸ δ' ἐκ τῶν δολίχων 19) καὶ τῶν ἀράκων

De lomento fabarum.

Lomento fabarum, si flatus expers conficere volueris, multam aquam affundes, atque elixabis: cumque perfrixum, et decoctum fuerit, totum effundes, et calidam aquam iterum indes: satis autem erit, si quadruplae choenicis portioni lomenti, quod iam effuderis, et confeceris, duas heminas aquae, et olei admisceas. ejus usus esse potest in gravedinibus et destillationibus, addita favi portiuncula. eo quoque utetur quis ad dysenterias, et tinesmos, si pinguius reddat, nec prius excoquat, nec aquam abiiciat. ad quem usum medulla quoque ei addetur, itemque cera, et caseus, et praecipue frixus: et oleum copiosius in iis, quos eiicere stercus volumus. Cum ptissana quoque, et lentibus lomentum componetur ad dysenterias, et tinesmos. Iam vero lomentum non excoctum elixabitur, ut in quadrupla choenicis portione sex heminae aquae imponantur. Pisorum vero lomentum minus flatum ciet, quam fabarum, et facilius conficitur: atque ideo imbecillis erit accommodatius. idque dari potest iis, qui defluxionibus, et tussi vexantur. huius quoque quadrupla pars choenicis in senis aquae heminis incoquetur. At lomentum, quod ex phaselis fit, omnibus dulcedine praestat: sed et difficulter coquitur, et caetera habet praedictis similia: atque id

12) Etenim κυαμοι sua natura φυσωδεις sunt.
13) Forte, ἀπέφθῳ v. Graev. ad Hesio. scut vers. 2c8.
14) Forte: οὓς (aut, εἴ τινας) βουλόμεθα ἐκκοπροῦν, (vel forte rectius ἐκκοπρεῖν.) Vide Rufum Ephesium edit. Mosq. p. 35.
15) Ita Cod. Forte, ὁ ἐρεγμος.
16) v. Athenaei Deipnoloph. p. 406. bis. πίσον et πίσσος notat. Eustath. ad Il. Hom. p. 802. edit. Rom. Aristoph. Fabritt. vers. 1168. ἔτνος γε πίσινον. Synesius T. I. p. 13. πίσσινον ἔωλον ἔτνος.
17) Immo, τούτου.
18) Apud Dioscor. II, 130 p. 132. est: φασίολος. v. Theophr. hist. Plaut. p. 925. 926.
19) v. Theophr. l. l.

20) πάντων χείριστον, καὶ πρὸς οὐδὲν χρήσιμον τῶν ἀῤῥωστημάτων ἕψημα ἂν γένοιτο.

ΚΕΦ. Θ.

Περὶ ἑψήσεων.

Ἅπαν ὄσπριον, κριθὴν καὶ πυρὸν, ἑψεῖν δεῖ περιπλάσαντας 21) στατὶ τὸ 22) πόμα τῆς χύτρας. ἑψεῖν δὲ δεῖ, ὡς πλεῖστον χρόνον, καὶ ὡς μαλακωτέρῳ πυρί. οὐ γὰρ ἐνδέχεται προσκαῆναι, 23) ἄνπερατορυτον 24) τὸ ἑψόμενον, ὅσον δήποτε χρόνον ἑψῆται. δεῖ οὖν διέφθων ἤδη σφόδρα ὄντων τῶν ὀσπρίων οὕτω, τὸ 25) ῥύναν καὶ 26) διὰ χειρὸς ἔχειν κινοῦντα, μὴ προτκαῆναι. ἐλαίῳ δὲ χρῆσθαι πρὸς τὰ ἑψήματα καὶ πρὸς τὰ ὄψα, τῷ ἀνοσμοτάτῳ, καὶ ἐν τῷ στόματι μηδεμίαν δύναμιν ἐμφαίνοντι. τοιοῦτον δ' ἂν εἴη τὸ ὀμφάκιον. 27) τοὺς δ' ἐμφυεῖς 28) τῶν ἰχθύων ἐν τῇ λεπίδι καὶ ἑψεῖν καὶ ὀπτᾷν. δεῖ δὲ, κἂν ἕψῃς, τὴν ἄρτυσιν ἀποδιδόναι, 29) καὶ τὸ ἔλαιον ἱκανὸν, καὶ προεψεῖν τὴν ἅλμην, εἶτ' εἰς ζέουσαν καθιέναι τὸν ἰχθῦν. οὕτω δὲ γενομένης τῆς ἑψήσεως, ἐγχυλότερός τε γίνεται ὁ ἰχθὺς, καὶ ἔχων τὸν ἴδιον χυμὸν ἐν αὐτῷ. 30) ὡσαύτως δὲ καὶ ὁ ὀπτὸς,

quoque in pari humore elixatur. quod denique ex dolichis, et aracis fit, omnium pessimum eſt: et ad nullam rem aegrotantibus utilis eorum eſt decoctio.

De coctionibus. Cap. 9.

Legumina omnia, hordeum, et triticum coquenda ſunt, osculo ollae cruſta obturato. diutissime autem coquenda ſunt, et igni, quo magis lento fieri potest. tunc enim licet quantumvis coquantur, nunquam comburuntur. debemus ergo leguminibus iam valde decoctis ita vas manu continere, ut agitando non comburantur: et ad decoctiones, et ad obſonia oleo, quod minime odorem habeat, et nullam omnino facultatem ori prae ſe ferat, uti. hujuſmodi eſt omphacinum. Piſcès vero, qui flatum excitant, in patinis elixandi, et aſſandi ſunt. si vero elixes, diſtribuenda conditura eſt, et ſatis olei indendum, et prius muria elixanda, deinde in eam ſeruentem piſcis coniiciendus. si ſic condias, piſcis ſucci plenior fiet, et proprium ſuccum in ſe continebit. idem quoque in patinis aſſatus, et melior, et maxime tener, et plurimi ali-

---

20) v. Galen. in Gloſſ. p. 66. in ἀρακίδας Theophr. l. l. p. 918.
21) Ita primo legebatur. Deinde ultima ſyllaba, quae per ſiglam ſcripta eſt, correcta eſt, efficta alia ſigla, adeo, ut nunc incertum ſit, utrum ος et ſolum α legendum ſit. Nulla correctione opus erat. Credo, corrector ex plurali ſingularem voluit facere.
22) Immo, στόμα
23) Codex: πρὸς καῆναι.
24) Ita Codex. Lego: κἄνπερ ἀτόρυτον. Nota ſunt τορύνω et τορύνη, quod hic mox occurrit, quanquam et hoc vocabulum hic vitiose ſcribitur. Mox malim, ἑψῆται, aut, ἕψοιτο.
25) Immo, τορύνην Vide Lucian. T. I. p. 211. edit. Schmiederi.
26) καὶ redundat Mox malim: τοῦ μὴ προσκαῆναι. Rurſus hic προσκαῆναι, ſed iunctim in Cod.
27) v. Dioscor. V, 6. p. 325. Niclas ad Geopon. p. 572. et Scholiastam ad Theocrit. Id. XI, 21.
28) ἐμφυεῖς dici possint cochleae, teſtudines etc. De iis coquendis et aſſandis, ſi recte memini, ſuperius ſere idem monitum eſt Raſarius videtur voluiſſe, φυσώδεις. Sed ex proximo λεπὶς coniici fortasse possit, λεπιδωτούς. De piscibus enim proprie ſic dictis hic videtur exponere. Raſarius videtur maluiſſe, λοπάσι.
29) Forte, προενδιδόναι, id eſt, προεμβάλλειν.
30) Id eſt, ut alibi, idem, quod ἑαυτῷ. Satis hoc alibi ex Codicibus praeſtantiſſimis et vetuſtiſſimis vindicavi, quid, quod adeo ex editionibus Aldinis. Stephanus vere plerumque correxit.

ἐν τῇ λεπίδι ὀπτώμενος, κρείσσων τὲ καὶ ἀπαλάτατος καὶ τροφιμώτατος γίνεται. δεῖ δὲ τῷ ἐλαίῳ τὴν ἄρτυσιν 31) ἀποδιδόναι· τὸν δ' ἅλα ἱκανὸν καταπάσσειν καὶ 32) λεπτοῦ ἀλφίτου.

K E Φ. ι.

Ἐκ τῶν Φιλοτίμου, κέγχρου σκευασία.

Ὁ δὲ κέγχρος τριφεὶς 33) μὲν ὠμὸς, καὶ λιανθεὶς, καὶ, παραχεομένου πάλιν 34) ὕδατος, τριβόμενος, καὶ ἀπηθούμενος, καὶ συνεψηθεὶς, καὶ γενόμενος ὅμοιος ἀλητῷ, κολλώδης τὲ καὶ στρυφνότατα 35) ἔχων, καὶ τὰς κοιλίας ἱςὰς; καὶ κατεργάζεσθαι 36) δυνάμενός ἐςι. μᾶλλον δ' ὅλος ἑψώμενος, ὥσπερ εἰώθασιν ἕψειν, δυσκατεργαςότερος, καὶ τὰς κοιλίας ἐνίοτε μαλακωτέρας ποιῶν, καὶ τὴν ἀλλοίωσιν ἐν τοῖς διαχωρήμασιν ὀυ λίαν ἐςὶν ἔχων, καὶ 37) κολλωδέςερον ἢ τὸν χυμὸν δὲ γλυκὺν ςύψιν ἔχοντα ἀναδίδωσιν.

K E Φ. ια.

Ἐκ τῶν 38) Ἀντύλλου. τροφαὶ 39) συνεχῶς νοσοῦσι. καὶ σκευασίαι αὐτῶν. κεῖται ἐν τῷ περὶ βοηθημάτων, εἰς τὸν τρίτον λόγον, ἐν τοῖς προσφερομένοις, ἐν τῷ δευτέρῳ κεφαλαίῳ.

Ἐκλεκτέον ἐπὶ τῶν συνεχῶν νοσημάτων τροφὴν, πεφθῆναί τε ῥᾴςην καὶ ἀναδοθῆναι τα-

menti reddetur. ſed conditura cum oleo diſtribuenda eſt: et ſal abunde inſpargendus, itemque tenuis farinae, quod ſatis ſit.

Ex Philotimo, de milio condiendo. Cap. 10.

Milium crudum tritum, et laevigatum, et affuſa aqua iterum contritum, et percolatum, et coctum, et molito ſimile factum, in collae modum redditur, habetque adſtrictionem, et ventrem ſiſtit, et difficulter in ventriculo conficitur. ſed si totum coquatur, ut faciunt, eſt multo ad conficiendum difficilius, et quandoque aluum molliorem facit, et non admodum in excrementis alteratur, et glutinoſum eſt: ſuccum vero, qui dulcem adſtrictionem habet, corpori diſtribuit.

Ex Antillo, de alimentis, quae continenter aegrotantibus dantur, deque ratione eorum apparandorum. Suntque haec in tertio de auxiliis libro, de iis, quae in cibis adhibentur, capite ſecundo. Cap. 11.

In morbis continuis eligendum alimentum eſt, quod facillime concoquatur, celerrime diſtribuatur, et non admo-

31) Forte, αυναποδιδόναι, συνενδιδόναι, συνεπιδιδόναι.

32) Forte, μετά, loco καί.

33) Sic, ſed post φ. inſertum θ. Ita saepius aoriſti ſecundi corrupti ſunt, quibus tamen Graeci in pluribus verbis libentius utuntur, quam aoriſtis primis.

34) πάλιν malim conjungere cum τριβόμενος.

35) In marg. ςυφότητα, a ςύφω. Habet hoc Synes. T. I. p. 2. 36. Cinnamus. p. 24. Id eſt, ςυπτικὴ δύναμις. Sed et ςρυφνότης occurrit, *acerbitas*. v. Dionys. Halicarn. T. II. p. 184. et Nemeſ. edit. Halensis p. 196.

36) Id est, δυνατός.

37) Forte, κολλωδέςερος. τὸν δὲ χυμον γλυκεῖαν. Ita etiam videtur accepisse Rasarius.

38) Vide Fabric. bibl. Graec. vol. XIII. p. 71. Mentio quoque fit eius in veteribus chirurgicis in Praefat. p. XII. bis, et 117. ſeqq. 154. edit. Cocchii. Florent. 1754. fol.

39) In principio Codicis ſolum hic index eſt: Ἐκ τῶν Ἀντύλλου. σκευασίαι τροφῶν τοῖς συνεχῶς νοσοῦσιν.

χίσην, καὶ οὐ πάνυ πολύτροφον καὶ ῥαδίως διαπνεομένην. αἱ γὰρ κατεχόμεναι 40) σωματοποιοῦσι τοὺς πυρετούς. ἔχει δὲ πάσας τὰς εἰρημένας ἀρετὰς ἄρτος πλυτὸς 41) ἐξ ὕδατος. ἔστω δὲ 42) πυρῶν μὲν τριμηνιαίων καὶ καθαρῶν δὲ μὴ σφόδρα· πολύτροφος 43) δὲ ὁ τοιοῦτος. τετρίφθω δὲ εὖ μάλα, καὶ ἐξοπτείσθω. σεμιδαλίτης 44) δὲ μήτε τούτων τῶν πυρῶν, μήτε ἄλλων παραλαμβανέσθω διὰ τὸ ἰσχυρόν. ἔστω δὲ καὶ ἕωλος 45) μᾶλλον, καὶ ζυμίτης. 46) ἀποβρεχέσθω δὲ ὕδατι θερμῷ, ἄλλῳ καὶ ἄλλῳ, συνεχὲς 47) ἀποχεομένῳ, μὴ πᾶν τὸ τοῦ ἄρτου μέρος, ἀλλὰ τὸ ἔνδοθεν. τὸ γὰρ δερματῶδες 48) αὐτοῦ πρὸς τὴν διαδοχὴν 49) καὶ τὴν πέψιν ἄθετον. μέτρον δὲ τῆς διαβροχῆς, οὐ τὸ

dum nutriat, et facile perſpiretur. nam quae continentur in corpore, febres pariunt. atque has quidem virtutes panis aqua lotus in ſe omnes continet. Sed eſto panis ipſe ex tritico trimeſtri, et non admodum puro, ſiquidem valde purum, valde etiam nutrit. conteratur vero diligenter, atque aſſetur. Ex simila vero confectus, neque ex hujusmodi tritico, neque ex aliis propter ſui vehementiam capiatur. Sitque potius heſternus, et cum fermento: iſque calida aqua maceretur, alia atque alia continenter effuſa: nec totus panis, ſed pars interior. nam exterior ejus pars, quae cutis vicem gerit, ad diſtributionem et ad concoctionem inepta eſt. ma-

40) Hoc vocabulum in textu linea notatum. In margine vero legitur, σώματι. Forte: ἐγκατεχόμενοι σώματι, ἐμποιοῦσι.

41) πλυτὸς in Lexicis, ut mille alia, fruſtra quaeras. Est tamen a πλύνειν. Sic eſt ἄπλυτος.

42) Forte: δ' ἐκ.

43) Rasarius hic quaedam de ſuo addidit. Ego ſolum γὰρ, cum δὲ, permutaverim. Mox lego, ἐξοπτάσθω.

44) Rurſus hic quoque Codex, ut iam monui, per η. σεμηδαλίτης. Equidem, qui ultra quatuor millia codicum Graecorum tractaui, experientia doctus ſum, quosdam codicum ſcribas in vocabulis non nullis ſemper eodem modo errare. Huiuscemodi ſcurrarum auctoritate, quae prorsus nulla eſt, tamen animadverti viros etiam eruditos interdum motos esse, atque adeo mirabilia et linguae Graecae contraria probasse. Poſtea hac de re, ac de reliquis eius generis vitiis, nullum verbum, ne obtundam aures elegantiorum. Sic idem ſcurra h. l. pro μάλα καὶ ſcripserat, μαλκοί. Silentio id praeterieram. Sed hic in tempore notandum censui. Leguntur haec in codice quinternione E. folio 2. pag. 2. non longe a principio.

45) ἕωλος, et hic, et alibi apud medicos opponitur τῷ προσφάτῳ καὶ νέῳ.

46) *Fermentatus*. Video laudari etiam, ſed, utrumque, ut fit, ſine auctoritate, ζυμήτης, quod poſterius tamen praetulerim.

47) Idem, quod συνεχῶς.

48) Haud inficete *cruſtam panis* appellavit, δερματῶδες. Vehementer mihi probatur iſtorum Graecorum medicorum in oratione ſimplicitas, perspicuitas, elegantia et modicus ornatus, quae virtutes orationis in libris didacticis unice commendandae ſunt. Quid contra non nulli recentiorum? Modo in ſublimo volitant, modo humi repunt. Hoc ex eo eſt, quod iſti veteres ſcriptores ſimul cum diſciplinis grammaticis et rhetoricis, vel per ſuperbiam, vel per ignaviam contemnunt. Monſtra ergo, non verba, effutiunt. Iſtam tamen barbariem *illuminationis* nomine iactanter ac palam praedicant. Habeant ſibi. Nullam certe apud poſteros celebritatem nominis, uti illi veteres, poſt tot hominum aetates impetrabunt atque obtinebunt.

49) διαδοχὴν ferri ſane poteſt. Vix tamen me abſtineo, quin conjiciam διάδοσιν. Veruntamen τὴν διαδόσει ſequitur ἡ διαδοχή.

ἀνοιδῆσαι μόνον, ἀλλὰ καὶ 50) τὸ πνεῦσαι τῆς ζύμης καὶ μηδὲν ἐκείνης ὀδωδέναι. τοῦ αὐτοῦ γένους καὶ χόνδρος πλυτός. ἀποχυλιζόμενος μὲν καὶ πλυνόμενος ἱκανῶς, ἑφθὸς δὲ διδόμενος ἐν ὕδατι ἢ μελικράτῳ. τοῦ δ' αὐτοῦ γένους καὶ χυλὸς πτισάνης, ἑψώμενος μὲν ἓν μέρος πτισάνης πεντεκαίδεκα μέρεσιν ὕδατος, ὑπολειπομένου δὲ κατὰ τὴν ἕψησιν τοῦ πέμπτου μέρους, καὶ διηθουμένου. πίνεται δ' ὁ χυλὸς, ὀλίγον προσλαβὼν μελίκρατον. καὶ αὐτό τε τὸ μελίκρατον ἐκ τῶν αὐτῶν τροφίμων ἄν τις θείη καθεψώμενον οὕτως, ὥσπερ καὶ τὴν πτισάνην ἔφαμεν τοῦ μέλιτος πρὸς πολλὰ μέρη τοῦ ὕδατος ἀνακιρναμένου παραπλησίως εἰς πέμπτον μέρος. σκευάζεται δὲ καὶ ῥόφημα ἐκ τοῦ χόνδρου τόνδε τὸν τρόπον. πλυθεὶς ὁ χόνδρος ἱκανῶς καὶ πολλάκις ἀποχυθέντος τοῦ πλύματος, 51) αὖθις ἐπιβρέχεται ὕδατι καθαρῷ, ὅσον ὥραν μίαν. εἶτα τρίβεται χερσὶν ἐν τῷ ὕδατι, ἕως γαλακτωθῇ τὸ ὕδωρ τῇ τε χροιᾷ καὶ τῇ παχύτητι· κἄπειτα οὕτω διηθούμενος ὁ χόνδρος, αὐτὸς μὲν ἔξω μένει· τὸ δὲ ἀπογαλακτωθὲν ἐξ αὐτοῦ προσλαμβάνει ἁλῶν ὀλίγων. ἐπὶ δὲ τῶν δακνομένων τὸν στόμαχον καὶ τὰ ἔντερα, βραχύ τι καὶ ἀνήθου· ἐπὶ δὲ τῶν ἀνατρεπομένων τὸν στόμαχον καὶ ναυτιωδῶν, γλήχωνος καὶ θύμου· ἐπὶ δὲ τῶν ἐμπνευματουμένων 52) κυμίνου. ἕψεται δὲ μέχρι συστάσεως, καὶ προσφέρεται πρὶν διαψυγῆναι. τοῦτο τὸ εἶδος τῆς τροφῆς, εἰ χρηστῶς σκευασθείη, καὶ τῇ τῆς προσφορᾶς εὐκολίᾳ, καὶ τῷ ῥαδίῳ τῆς πέψεως, καὶ τῷ ταχέως ἀναλαμβάνεσθαι, ἡνίκα 53) καὶ χόνδρον καὶ ἄρτον προηγοῦμεν. αἱ μὲν οὖν ἐπὶ τῶν ὀξέων πυρετῶν

cerandi vero terminus sit, ut non ſolum panis in tumorem efferatur, ſed ut fermentum evaneſcat, et illius odorem non referat. alica quoque lota, eſt generis ejuſdem, cum ſuccus expreſſus, et ipſa ſatis lota sit, et elixa detur ex aqua, vel mulſa. Similis quoque generis eſt ptiſſanae ſuccus, ita coctus, ut in una ejus parte quindecim aquae partes indantur. cum enim coquendo quinta pars remaneat, et percoletur, ſuccus modica mulſa addita potui datur. Ipſam quoque mulſam in horum alimentorum genere poſſet quiſpiam conſtituere. Coquitur, ut ptiſſanam coqui diximus, cum mel in multas aquae partes coniicitur, et in quintam partem coquendo redigitur. Ex alica etiam ſorbitio conficitur ad hunc modum. alica lota, et aqua ſaepe abiecta, iterum aqua pura unius horae ſpatio maceratur: deinde manibus in aqua confricatur, donec aqua colorem et ſpiſſitudinem lactis acquirat. deinde alica ita percolata, ipſa quidem extra remanet: quod vero lacteum ab ipſa eſt effectum, parum ſalis capit: et in iis, quorum ſtomachus et inteſtina morſu infeſtantur, parum anethi adiungitur: in iis vero, quibus ſtomachus pervertitur, et nauſea vexatur, pulegii, et thymi: in iis, qui flatus pleni ſunt, cumini. coquitur ad conſiſtentiam, et datur, antequam refrigerata ſit. hoc alimenti genus si rite conficiatur, et dandi promptitudine, et concoctionis facilitate, et celeritate reficiendi, cum alicam, et panem praeferimus. * atque alimenta quidem, quae in

50) Equidem coniecerim, τὸ ἀποπνεῦσαι τῆς ζύμης.
51) Vide Pollucem edit Hemſterh. p. 713. 714. Idem, quod ἀπόπλυμα.
52) Utitur hoc Plutarchus. T. II. p. 906. a.
53) ἡνίκα h. l. est ἐνίοτε. Conjicio vero: καὶ χόνδρου καὶ ἄρτου προηγούμεθα.

εἰσὶν αἵδε αἱ τροφαί. κατὰ περίστασιν δὲ πολλάκις, ἢ διὰ τὸ μὴ παρεῖναι ταύτας, ἢ διὰ τὸ μὴ οἰκείως ἔχειν πρὸς αὐτὰς τοὺς κάμνοντας, ἀναγκαζόμεθα καὶ ἄλλαις χρῆσθαι τροφαῖς, ἐν αἷς ἐστὶν ἴτριόν 54) τε καὶ λάχανον, καὶ ἄλφιτον, καὶ ᾠόν. τὸ μὲν οὖν ἴτριον ἐκ πυρῶν ἔστω, ὧν καὶ ὁ ἄρτος ὀπτημένος καλῶς· λεπτὸν δὲ αὐτὸ δεῖ εἶναι σφόδρα. τὸ γὰρ παχὺ ἀνωμάλως ὀπτᾶται, καὶ τετρῖφθαι δὲ δεῖ μάλιστα λεπτότατον, ὡς ἐπίσης ἀλφίτῳ εἶναι. ἑψεῖσθαι δ᾽ ἐν ὕδατι μάλιστα μὲν οὖν ὀμβρίῳ· εἰ δὲ μὴ, ὅτι καθαρωτάτῳ ἐπὶ πλεῖστον, ὥστε ὑπὸ τῆς ἑψήσεως ἑνωθῆναι· ἐχέτω δὲ ὀλίγων ἁλῶν, καὶ ἔστω ἀνέλαιον, ἢ βραχύ τι παντελῶς ἐλαίου προσλαμβανέτω, πρὶν ἐμπάσσεσθαι τὸ ἴτριον, συνεψαμένου τῷ ὕδατι τοῦ ἐλαίου. ὁμοίως δὲ χόνδρος ἑψεῖται σὺν τοῖς αὐτοῖς ἡδύσμασι. λαχάνων δὲ πάντων ἐπιτηδειότατον μαλάχη, ἔν τε γάρῳ καὶ ἐλαίῳ ἑφθὴ ἐσθιομένη. καὶ τὸ ἀπ᾽ αὐτῆς ῥόφημα, ὃ δὴ γίνεται, τῶν φύλλων ἑψωμένων τῶν νεαρῶν τῆς μαλάχης, χωρὶς τῶν ἰνῶν, ἔπειτα τριβομένων ἐν 55) θυΐᾳ, καὶ αὖθις ἑψώμενον ἐν ὕδατι καὶ ἁλὶ καὶ ἐλαίῳ. δευτέραν δὲ χώραν ἔχει κολοκύντη. δεῖ δὲ ἐπιλέγεσθαι τὰς σφόδρα νεαράς. ἑψεῖν ὅλας ἀξύστους, ἵνα μὴ τοῦ ὕδατος ἑψώμεναι διακορεῖς γένωνται. ξυέσθωσαν δὲ μετὰ τὴν ἕψησιν, καὶ προσφερέσθωσαν μάλιστα μὲν ἐν ὑδράλμῃ. 56) καὶ γὰρ οὐδὲ ἄστομος ἡ τοιαύτη προσφορά· εἰ δὲ μὴ, ἐκ γάρου καὶ ἐλαίου δοτέον. τὰ δὲ ᾠὰ ἑψεῖν δεῖ ἐν ὕδατι κινοῦντας ἀδιαπαύστως αὐτά. οὐ γὰρ συνίσταται τὰ κινούμενα, οὐδὲ παχύνεται. βέλτιον δὲ ἐν

morbis acutis conueniunt, haec ſunt, quae expoſuimus. Sed perſaepe ordo variatur, vel quia haec non ſuppetant, vel quia non rite affecti ad ea ſint aegrotantes, aliis alimentis uti neceſſitas nos cigit: in quorum numero ſunt itria, olera, et polenta, et ova. Itrium igitur eſt ex tritico, cum ſit ipſum quoque panis recte aſſatus. debet autem tenue eſſe magnopere, ſiquidem craſſum inaequaliter aſſatur: debetque praecipue quam tenuiſſime conteri, ut ſit polentae perſimile: atque in aqua elixari, et praeſertim pluuia: si ea non ſuppetat, alia puriſſima: idque plurimum, ut coquendo in unum conducatur. modicum quoque ſalis inſit: oleique ſit expers: vel parum omnino olei imponatur: et, priusquam itrium eo perſpergatur, oleum cum aqua ſit incoctum. alica vero cum iiſdem condimentis coquitur. Omnium vero olerum accommodatiſſima malua eſt, quae ex garo et oleo cocta comeditur: vel ſorbitio, quae ex ea ſit hoc modo. folia maluae novella, abſque fibris elixantur, deinde iu mortario contunduntur, et iterum ex aqua, ſale, et oleo elixantur. Secundum locum tenet cucurbita. Sed admodum novellas cucurbitas debemus eligere, atque totas, non abraſas, coquere: ne elixatae aqua impleantur. ubi vero elixatae fuerint, tum abradantur: denturque praecipue in aqua et muria. nam hoc pacto ori non erunt ingratae: ſin ſecus, ex garo dentur, et oleo. Ova

54) Ἴτριον Galen. in Gloſſ p. 74. appellat etiam ἐρείκιον.

55) Scribitur etiam, θυεία.

56) In lexicis hoc non reperitur. Compoſitum eſt ex ὕδωρ et ἅλμη, ut ὑδρέλαιον.

ὀξυκράτῳ 57) ἑψεῖν. ἔτι γὰρ μᾶλλον ὑγρὰ διαμένει.

ΒΙΒΛ. ε. ΚΕΦ. δ.

Ἐκ τῶν Διοκλέους. ὕδατος διόρθωσις.

Ὕδωρ ἀσθενέστατον ποιήσεις, ἀφεψῶν τὸ τρίτον μέρος, καὶ τὰ λευκὰ 58) διαφεψῶν ὡσαύτως· ἐμβάλλειν δὲ εἰς ταῦτα βώλου 59) ἀργίλου ξηρᾶς, μέχρι διάβροχοι γένωνται, μέτρον, ὡς ἡμίεκτον εἰς ἀμφορέα. ἐπειδὰν δ' ἀφεψήσῃς, 60) πιεῖν. καὶ ἴυτω θερμὸν, ὀδμὴν ἐξάγειν ὕδατος, κόπτων χειρὶ πρὸς ἄνεμον, καὶ ἐξαιθριάζων ἐν ἀχανεῖ τεύχει, 61) καὶ διαχέων εἰς τεύχη πολλὰ κατὰ μικρόν.

ΚΕΦ. ε.

Ἐκ τῶν Ἀθηναίου. ὕδατος κάθαρσις.

Διϋλίζεται τὸ ὕδωρ, τὸ μὲν, τοῖς στακτοῖς 62) λεγομένοις, καθάπερ ἐν Ἀλεξανδρείᾳ. διϋλίζεται δὲ καὶ τοῖς ὑλιστῆρσι, ποτὲ μὲν ἁπλοῖς, ποτὲ δὲ διπλοῖς ἢ τριπλοῖς γινομένοις, ἕνεκα τοῦ καθαρώτατον δι' αὐτῶν ἐκδέχεσθαι. καὶ βόθροι δὲ γίνονται παρά τε τῇ θαλάσσῃ, καὶ ταῖς λίμναις, ἔνθα μὲν πότιμον ἀπὸ τῆς θαλάσσης χωρίζειν προαιρουμένων, 63) ἔνθα δὲ τῆς λίμνης ἀνατεθολωμένης, καὶ βδέλλας ἐχούσης, ἢ τινας ἄλλας κακίας, ὅπως τὸ καθα-

in aqua ſunt coquenda, atque continuo agitanda: ſiquidem ita commota, neque ſimul cohaerent, neque denſantur. ſed praeſtat etiam, ea in poſca coquere, quoniam magis etiam liquida permanent.

Dioclis, de aqua corrigenda. Lib. V. Cap. 4.

Aqua maxime imbecillam facies, si tertiam partem decoquas, et alba ovorum ſimiliter incoquas. in haec ipſa iniicienda eſt argillae ſiccae gleba, donec maceretur. menſura vero eſt, ut ſemiſextarius amphorae indatur. ubi decoxeris, bibatur. odorem etiam ab aqua removebis, si calfactam manu ad ventum ferias, et ſub dio in vase immenſo teneas, et in multa vaſa paulatim diffundas.

Athenaei, aquae purgatio. Cap. 5.

Aqua defecatur partim ſtillicidiis, quae ſtacta dicuntur, ut fit Alexandriae: partim colis, iiſque interdum ſimplicibus, interdum vero duplicibus, vel triplicibus, ut aqua puriſſima per eadem excipiatur. Fiunt etiam juxta mare et juxta ſtagna foveae, illic cum aquam potabilem a mari ſecernere volumus, hic vero, ut cum ſtagnum fuerit turbatum, hirudinesque, aut alia quaedem vitia contineat, aqua puriſſima, et maxime

57) Erotian. p. 35. memorat hoc cum ὀξυμέλιτι et ὑδρομέλιτι.

58) Nimirum, τῶν ὠῶν.

59) Cod. βωλοῦ. Loco ἄργιλος, ſeu ἄργιλλος, Galen. in Gloss. p. 69. habet etiam, ἡ ἀργίλη.

60) Sic correxi. In Cod. eſt: ἀφεψήσας ποιεῖν. Mox etiam in Codice eſt, κόπτον.

61) τεῦχος, idem quod ἀγγεῖον. ἀχανὴς, *apertus*, *patens*

62) Hoc non inveni, ut de inſtrumento, etsi στακτὸς, ut adjectivum, ſatis notum ſit. Forte στακτῆρσι, aut, στακτηρίοις. Sed nec haec legi. Mox Codex: ὑλιστηρσι, ſine accentu.

63) Intellige, ἀνθρώπων, aut τινῶν. Rasarius voluit, προαιρούμεθα, ut eius docet interpretatio.

ρώτατον καὶ ἀλυπώτατον, διὰ τῆς γῆς διαπηδῶν 64) εἰς τὰ ὀρύγματα συνάγηται. ἐπὰν δὲ πολὺ πλῆθος ἦ τὸ ὑδρευόμενον, καθάπερ ἐν στρατιαῖς, κύκλῳ τὰς πλευρὰς τοῦ βόθρου λίθοις ἢ ξύλοις περιλαμβάνουσι, καὶ τὸ ἔδαφος ὁμοίως καταστρώσαντες, πειρῶνται καθαρὰ διαφυλάττειν τὰ ὕδατα· τὰ δὲ διϋλιζόμενα λεπτότερα γίνεται, καὶ καθαρώτατα, διὰ τοῦτο καὶ ψυχρότερα. πολλὰ δ' αὐτῶν καὶ διϋλισθέντα, τὰς ἀπὸ τῶν γλοιωδῶν σωμάτων δυνάμεις φυλάττει. 65).

Κ Ε Φ. ιζ.

Ἐκ τῶν 66) Φιλαγρίου, περὶ ἀπομέλιτος.
Ἐκ τοῦ περὶ ἡδέων πομάτων.

Καιρὸς πόσεως ἀπομέλιτος, καθ' ὃν ἂν φανῇ σημεῖον πέψεως. ἐν μὲν πυρετῷ, μόνον κατ' οὔρων. εἰ δέ τι καὶ περὶ πνεύμονα τύχοι ταύτης δεόμενον, ἐν τοῖς ἀναπτυσθεῖσι δεικνύμενον. δοθείη δ' ἂν οὐκ ἀτόπως καὶ πρὸ πέψεως. καὶ γάρ τι καὶ τμητικὸν ἔχει, καὶ ῥυπτικὸν, καὶ συμπέψαι 67) μελίκρατον αὐτοῦ δύναται. βελτίων οὖν ὁ καιρὸς ἀπομέλιτος ὕστερον, ὡς ἂν καὶ οἰνῶδές τι κεκτημένου. συμβαίνει γε μὴν τοὺς πυρετοὺς ἐξάπτεσθαι πλέον οἴνου πόσει, μὴ παρακμάζοντος ἤδη τοῦ νοσήματος, καθ' ὃν χρόνον λελέπτυνται μὲν τὰ αἴτια, καὶ τῶν πόρων ἄνοιξις γέγοιεν. τηνικαῦτα γὰρ πινόμενος οἶνος πόριμος, οὔτ' ἐπαύξων τὸ τῶν πυρετῶν γένος, καὶ πρὸς τὸ δέρμα τὴν θερμασίαν ἄγων, καὶ κατακιρνεὶς μὲν εὐθέως τὰς δριμύτητας

innoxia per terram transiliens, in fossis colligatur. Ubi vero multa aquae copia sit haurienda, ut in exercitu fieri solet, latera foveae lapidibus, lignisque ambiunt, et cum pavimentum simili modo instraverint, puras servare aquas nituntur. aquae autem, quae purgantur, leviores, ac puriores fiunt et ob eam ipsam causam etiam frigidiores. multae vero, licet fuerint percolatae, tamen facultates a sordidis corporibus contractas adhuc servant.

Philagrii, de apomelite. Ex libro de potionibus suavibus. Cap. 17.

Tempus apomelitis potioni accommodatum est, cum signum coctionis apparet: ac in febribus quidem, ex vrinis: in pulmone vero, si quippiam sit, quod hac potione indigeat, quod ea, quae exspuuntur, nobis indicent. non importune quoque ante concoctionem dabitur: siquidem vim quandam habet incidendi, et abstergendi, potestque ipsum concoquere: sed melius etiam concoquit, quam melicratum. praestantius ergo tempus apomelitis est posterius, utpote quod vinosi quidpiam acquisiverit. evenit enim, ut febres magis accendantur ex vini potione, nisi iam morbus declinat. quo sane tempore causae extenuatae sunt, et meatus aperti fuerunt. ac tum quidem vinum potui datum permeat, nec febres auget, et ad

64) Codex: διαπηδόν.

65) Paullo hic inferius, capite XIII legitur breve fragmentum ex Dioscoridis lib. V. cap. 13. p. 330. quod, ut editum, praetermisi.

66) De eo vide Fabric. bibl. gr. Vol. XIII. p. 364.

συνεξάγων, δι 68) ὀλίγον ὕστερον ἱδρῶτάς τινας καὶ οὖρα προτρέπων. ὥστε ὁ τῆς παρακμῆς 69) καιρὸς, ἐκτήδειός ἐστιν οἴνου πόσεως καὶ τῶν ἄλλων τῶν οἰνωδῶν πομάτων. ἀλλ' ἐπεὶ πάλιν οἴνου μὲν ἀσθενέστερον ἀπόμελι κατὰ θερμασίαν τυγχάνει· ῥυπτικῆς δὲ καὶ τμητικῆς ὑπάρχει δυνάμεως· τοῦτο δὲ προπαρασκευαστικὸν λύσεως τῶν ἐπὶ χυμοῖς σηπομένοις 70) ἀναπτομένων πυρετῶν γίνεται, διδόναι καὶ πρὸ παρακμῆς, ἀπομέλιτος ποτοῦ. μελίκρατον μὲν δὴ συντιθὲν, αὐτίκα πίνεται, καὶ τὸ ὀξύμελι δὲ δοθείη, ποτὲ ἂν παραχρῆμα συντεθὲν, εἰ καὶ βέλτιόν ἐστι κεχρονισμένον αὐτὸ προσφέρειν. δι ἀκριβείας 71 a) γὰρ τηνικαῦτα κεχωρήκασιν εἰς ἄλληλας αἱ δυνάμεις. καὶ ῥοδόμελι δὲ καὶ ὀμφακόμελι καὶ τὸ διὰ κωδύαν 71 b) χρονισθῆναι λίαν ἐθέλει. τὸ μὲν γάρτοι παχὺ καὶ τρυγῶδες ἐν αὐτοῖς ἐστί. τὸ δ' αὖ χρήσιμον καὶ πότιμον, καὶ δεῖται χρόνου πρὸς διάκρισιν. μάλιστα δὲ τὸ ἀπόμελι. πρὶν γὰρ οἰνῶδές τι κατά τε τὴν γεῦσιν καὶ τὴν ὀσμὴν ἐν τῷ χρόνῳ προσλαβῇ, οὐδὲν ἂν μελικράτου δόξειεν διαφέρειν· ἑψηθὲν δὲ, καὶ μηνῶν που γενόμενον ἕξ, οὐχ, ἃς εἴρηκα, μόνας ἐνεργείας, ἀλλὰ καὶ τὴν ῥωστικὴν, οἴνου δίκην, ἐπιδείκνυται, δίχα τοῦ τῆς κεφαλῆς ἅπτεσθαι. πίνειν μὲν σὺν ἀπόμελι, χρόνιον. σκευάζειν 72) δὲ ὧδε. κηρία λαβὼν πεπληρωμένα μέλιτος λευ-

cutim calorem trahit: et humores temperans, statim acrimoniam extrahit: paulo post vero sudores quosdam, et urinas commovet. ex quo fit, ut tempus declinationis fit vini, et aliorum potuum vinosorum potioni accommodatum. Sed quoniam apomeli; est vino itidem in calore debilius, habetque vim incidendi, et abstergendi, idque vim habet praeparandi solutionem febrium, quae ex putrescentibus humoribus accenduntur: idcirco fit, ut etiam ante declinationem apomeli potui detur. at melicratum compositum statim praebetur. oxymeli vero dari poterit statim confectum: sed, si melius fit diutinum, illud dato. tunc enim facultates inter se diligenter sunt distinctae. Rhodomeli vero, et omphacomeli, et diacodyon inueterascere valde postulant. pars enim in eis crassa et feculenta est, pars vero contra utilis, et potabilis: et tempore opus est, ut secernatur: idque praesertim in apomelite: quod prius, quam vinosi quidpiam, quod tractu temporis acquisiverit, et gustanti, et odoranti afferat, nihil a melicrato differre videtur. Coctum enim, et sex mensium spatio asservatum, non solum ea, quae dixi, praestat: sed vim etiam roborandi, more vini, demonstrat: nec

67) Post συμπέψαι in marg. additur: δυνάμενον. ἀλλὰ βέλτιονγε πέψαι μελικράτου.

68) Antea fuerat, δι ὀλίγων. Littera o est ex correctione. Forte, δι ὀλίγου voluit. Sed nec ὀλίγων absurdum erat.

69) παρακμὴ, *febris remissio.*

70) ἀνάπτεσθαι de febribus, elegantissima et aptissima translatione, ut plura alia in his Graecorum medicorum fragmentis, quae brevitatis caussa silentio praeterii. *Graecis dedit ore rotundo musa loqui.*

71 a) In Codice: διακριβείας. δι ἀκριβείας nihil aliud est, quam ἀκριβῶς δι ἀκριβείας saepe habet Plato. Dicitur etiam, ἐπ' ἀκριβείας, εἰς ἀκρίβειαν, πρὸς ἀκρίβειαν. Notum est enim, Graecos adverbia per praepositiones et substantiva notare. Haec obiter. Eiusmodi enim hic non admodum curo.

71 b) Cod. una voce: διακωδύων. In proximo capite XVIII legitur locus Galeni: περὶ τοῦ διὰ κωδύων. κωδύων vero vocabulum diverso modo scribi, dudum monitum est. Vide etiam Galen. in Glossis p. 82. Harpocrat. p. 109.

72) In Codice Oribasii capite XV est locus ex Galeno de hoc potu praeparando, ubi inter alia monet, a veteribus appellatum esse, ὀξύγλυκυ.

καὶ μὲν τὴν χρόαν, διαυγὲς ἔχοντα τὸ μέλι, διὰ τῶν χειρῶν ἐκθλίβομεν, καὶ ὕδωρ πηγαῖον καλὸν μίγνυμεν, παχυτέρῳ μὲν, ὅτι τέτταρα μέτρα· μέσῳ δὲ, τρία καὶ ἥμισυ· λεπτοτέρῳ δ' ὑπάρχοντι καὶ ὑγροτέρῳ, τρία τοῦ ὕδατος. ἢ τόγε τοῦ κηροῦ γεῶδες λείψανον, ἐξ οὗπερ ἐξέβη τὸ μέλι, θλίβοντες ταῖν χεροῖν ἐπιπολὺ διαθρύπτομεν εἰς λεπτὰ μόρια; κατ' αὐτὸ τὸ ὕδωρ ποιούμενοι τὴν θλίψιν. εἶτα συναγαγόντες τὸ ὑγρὸν, καὶ λύσαντες ὅλον τὸ μέλι, κἄπειτα ἐμβάλλοντες εἰς καινὴν χύτραν προαπεξεσμένην ἠρέμα καὶ τὸ γεῶδες ἀποτεθειμένην ἄνθραξι πυροῦντες ἢ ξύλων ἀκάπνων φλογὶ λεπτοτέρᾳ, ζέννυμεν, ἀφαιροῦντες ἑκάστοτε τὸ οἷον ἀποπτυόμενον ἐν τῇ ζέσει κόπριον. μετὰ δὲ τὰς πρώτας ζέσεις ἀφελόντες τὸ γεῶδες ἅπαν καὶ δηλονότι καὶ τὸν ἀφρὸν, καθελόντες τὲ τὴν χύτραν, εἶτ' ἐάσαντες ψυχθῆναι τελέως, καὶ μετὰ τὴν ψύξιν τὸ ἐποχούμενον ἐξελόντες, ἐπανθεῖ δὲ ψυχθέντος, αὖθις τὴν χύτραν ἐπὶ τοῦ πυρὸς θερμαίνομεν, καὶ ζέσαντες ἀποτίθεμεν, ἀφελόντες τὲ τὸ ἐπιπολάσαν πάλιν, εἰ ψυχθείη. τρίτην δὲ 73) ποιησάμενος ζέσιν καὶ ψύξιν καὶ κάθαρσιν τοῦ περιττώματος, οὕτως ἐμβάλλομεν εἰς ἀγγεῖον τὸ σκευασθὲν ἀπόμελι κεράμιον. καλὰ δέ ἐστι τὰ φιλαδελφινὰ 74) καὶ καρυηνά, καὶ ὀμφακηρὰ προσαγορευόμενα. τίθεμέν τε

caput tentat. ergo diu ante factum apomeli, bibendum eſt. Haec vero eſt ejus confectio. Favos mellis plenos; albi coloris, pellucidumque mel continentes capimus, manibuſque humorem exprimimus: aquam fontanam optimam indimus. si mel craſſius ſit, uni mellis parti quatuor aquae partes injicimus: ſi mediore, tres et dimidium alterius: ſi tenuius ſit et liquidius, tres. partem vero terream faui, reliquias inquam, ex quibus mel expreſſum fuit, manibus multum confringimus, et in tenues partes diſſectas in aqua exprimimus: deinde humorem in unum adductum, et totum mel diſſolutum in ollam novam, in qua prius ad terreum odorem tollendum aqua pedetentim ferbuerit, coniicimus, et igni ex carbonibus, aut tenuiore flamma ex lignis fumum non reddentibus, decoquimus, ablata jugiter ſpuma, et quicquid veluti fex feruendo reiicitur. Poſt primam vero coctionem, auferimus quicquid terreum eſt, ac nimirum etiam ſpumam, ollam ab igni tollimus: deinde plane frigere ſinimus. ubi iam frigida ſit, quod ſupra fluitat, abiicimus. totum poſtea ſic frigefactum igni excalfacimus, et ubi ferbuerit, tollimus, et ubi frigeſcat, iterum, quodcunque ſuperfluitat, excipimus. ubi vero tertio ferbuerit et frigefactum ſit, et excrementum abjectum, apomeli confectum in vas fictile coniicimus. ſunt autem ad hoc accommodata, quae philadelphina, et caryena, et ompliacera nominantur.

73) Forte, ποιησάμενοι. ἀγγεῖον κεράμιον jungenda, ut per ſe intelligitur. Forte excludenda τὸ σκευ. ἀπόμελι.

74) Forte, φιλαδελφηνά. Et mox, καρυηρά et ὀμφάκινα.

αὐτὸ κατ᾽ οἶκον, ἐν ᾧ καὶ οἶνος τεθεὶς εἴωθεν ἄτρεπτος μένειν. δῆλον δ᾽ ἐστὶ δήπουθεν τὸ χρῆναι τὴν ζέσιν ἐπὶ πλέον ποιεῖσθαι. τὸ γὰρ ἀρξαμένης, ἢ βραχὺ προελθούσης καθελεῖν τὴν χύτραν, ἀτελῆ τὴν ἕψησιν ἐργάζεται, καὶ περίττωμα καταλείπεται γεῶδες, σαπῆναι δυνάμενον καὶ διαφθαρῆναι τὸ ποτόν. διττὴ δ᾽ ἐστὶ σύνθεσις ἀπομέλιτος. τὸ μὲν γὰρ μόνων ἑψωμένων ἐν ὕδατι τῶν κηρίων γίνεται μετὰ τὴν ἔκθλιψιν τοῦ μέλιτος, καὶ ποιοῦσι, κατὰ τὰς ἀγροικίας, αὐτὸ πλεῖστον, ὅσον οἰνῶδες, καὶ παχὺ, καὶ μελάντερον· τὸ δ᾽, ὡς αὐτὸς ἔφην, συντιθέμενον, ὡς τοῦ μέλιτος εἶναι μᾶλλον ἐν αὐτῷ χρείαν, ἢ τῶν κηρίων. πλύνεται γὰρ ταῦτα κατὰ τὸ ὕδωρ, οὐχ ἕψεται, τοῦ μέλιτος ὅλου συνεψωμένου. καὶ ταύτῃ γε τῇ συνθέσει διαπαντὸς ἡμεῖς χρώμεθα, τὴν ὕδατος μόνου πόσιν ὡς ἐπὶ τὸ πολὺ παραιτούμενοι. κακίας γὰρ ἐπὶ πυρετικῶν ἀῤῥωστιῶν οὐκ ὀλίγας, οὔτε μικρὰς ἐπιδείκνυται.

id reponimus in cella vinaria, ubi vinum reconditum moveri non solet. Est vero perspicuum, hoc esse diutius decoquendum. nam si ollam auferas, ubi feruere incepit, aut parum ferbuerit, imperfectam coctionem facies: et excrementum terreum in ea relinquetur, quod efficere poterit, ut potus putrescat, et corrumpatur. Est autem duplex apomelitis compositio. alterum fit, cum soli faui, postea quam mel expressum fuerit, in aqua decoquuntur; quod rustici plerumque faciunt: quod et vinosum, et crassum, et nigrius est: alterum vero, quale ego descripsi; in quo mellis potius, quam favorum usus cernitur: quandoquidem favi in aqua tum lavantur, non coquuntur: cum tamen mel totum cum aqua decoquatur, hacque compositione nos semper utimur, aquae solius potione ut plurimum devitata: siquidem ea aegrotis febricitantibus neque pauca, neque exigua mala solet invehere.

ΚΕΦ. ιθ.

Περὶ τοῦ διὰ κωδύων. Ἐκ τῶν Φιλαγρίου. ἐκ τοῦ περὶ ἡδέων πομάτων.

Οὐκ εἰς ὕπνον τρεπομένοις, ἀνθ᾽ ὕπνου δεομένοις δέδωκα τὸ διὰ κωδύων ἐγὼ μόνον, ἢ πρὸς βῆχά τινα ἐνισάμενος, ἐφ᾽ ὧν ὅ, τε χρόνος, τὸ, τε ποσὸν τῆς δόσεως ὑπὸ Γαληνοῦ καλῶς ὡρίσθη· ἀλλὰ καὶ πυρέττουσι σφοδρῶς, ἀφόρητόν τε τὸ καῦμα πεποιημένοις, καὶ στόμα γαστρὸς διακαιομένοις, ἐν ἐρυσιπέλασί τε, καὶ ἄλλως θερμῷ παθήματι, ἐφ᾽ ἂν δὴ καὶ τὸ ποτὸν ηὐξήσαμεν μεγάλως, πέντε καὶ ἓξ κοχλιάρια διδόντες.

De eadem confectione ex capitibus papaverum. Philagrii, ex libro de potionibus suavibus. Cap. 19.

Ego non solum iis, qui se quieti tradidissent, somnoque indigerent, confectionem ex capitibus papaveris exhibui, aut ad tusses arcendas dedi, in quibus et dandi tempus, et mensuram rite Galenus definivit: sed etiam iis, qui vehementi febri iactarentur, quique calore, quem ferre non possent, affligerentur, et os ventriculi ardore opprimeretur: itemque in erysipelate, et alio calido quovis affectu. in quibus etiam valde quantitatem auximus, ut quin-

καὶ οὐχ ἅπαξ γε μόνον, ἀλλὰ καὶ δεύτερον, καὶ τρίτον, καὶ πολλοστὸν τῆς ἡμέρας, οὐκ ἐν ἀκμῇ μόνον τῶν πυρετικῶν νοσημάτων, ἀλλ' ἤδη καὶ πρὸ τῆς ἀκμῆς τὲ καὶ τῆς ἐναργοῦς πέψεως, ἐφ' ἂν ἀγρυπνία καὶ θερμασία δριμεῖά τις ἢ μεγάλη κατεπόνει τὸν ἄνθρωπον. διὸ καὶ καλῶς ἔχειν μοι δοκεῖ, τοὺς πρὸ τῆς ἀκμῆς τῶν πυρετικῶν νοσημάτων τῷ διὰ κωδύων ποτίζειν βουλομένους ὀξυμέλιτος ἐπιχεῖν. λεπτύνει γὰρ αὐτοῦ τὸ παχὺ τῆς ὕλης, φυλάττει τὲ τὴν ψυκτικὴν δύναμιν μετὰ τοῦ μὴ ἐμποδίζειν τῷ τάχει τῆς πέψεως. χρὴ 76) οὐκ ἐπὶ τῶν ἐπὶ σήψει παχέων χυμῶν ἐξαπτομένων πυρετῶν μόνον ὀξυμέλιτος μιγνύειν, καὶ μάλιστα, ὅτε πρὸ ἀκμῆς δίδομεν, ἀλλὰ κἀπὶ τῶν σπλάγχνων τῶν ἐμπεφραγμένων, ἥπατος καὶ σπληνὸς, πνεύμονός τε καὶ τῶν ὁμοίων πυρετῶν διακαιομένων. πέντε δ' ἢ ἓξ τέλεια κοχλιάρια δίδομεν, οὐ φοβούμενοι ψύξεως ἀμετρίαν, καθάπερ ἐπὶ τῶν ἄνευ πυρετοῦ βηχὶ συνεχομένων. τὸ γὰρ ὑπὲρ τὴν φύσιν θερμὸν κολάζομεν, πρὸς ὃ συναρμόττεται τὸ ποσὸν τοῦ φαρμάκου, τῆς κατὰ φύσιν θερμασίας οὐχ ἁπτόμενον δηλονότι, κατὰ τὰς ἀγωνιστικὰς πόσεις. οὐ μόνον δὲ τὸν πυρετὸν, ἀλλὰ καὶ τὸν παροξυσμὸν ἁρμόζειν προσῆκεν, ὡς ἀμφοτέρας ἅμα τὰς ἀρχὰς τήν τε τοῦ κατὰ μέρος παροξυσμοῦ, καὶ τὴν τοῦ νοσήματος αὐτοῦ συμπεπτωκέναι. καλῶ δ' ἀγω-

que et fex cochlearia daremus, idque non femel, fed et bis, et ter: idque faepius in die. nec folum in ftatu morborum, quos febris affert, fed etiam ante ftatum, et vero etiam ante concoctionem evidentem: in quibus vigilia calorque acer aut magnus quidam hominem oppugnabat. Idcirco recte facere mihi videntur, qui ante ftatum morborum, qui ex febre exiftunt, bibere hanc confectionem volunt, ut oxymel admifceant. quandoquidem oxymel ejus materiae craffitudinem attenuat: fervatque confectio fuam vim refrigerandi, et celeritati concoctionis nullum affert incommodum. nec folum vero in febribus ex humorum crafforum corruptela accenfis, oxymel admifcere, et praefertim cum ante ftatum damus, fed etiam in vifceribus obftructis, ut iecore, pulmone, liene, et ejusmodi febribus adurentibus oportet. tunc autem quinque aut fex perfecta cochlearia damus, nec frigiditatem nimiam, quemadmodum in iis, quos tuffis abfque febre vexat, pertimefcimus. Calorem enim, qui praeter naturam eft, corrigimus, cui etiam conuenit quantitas medicamenti, ut ad naturalem calorem redigatur: cum minime videlicet vehementibus potionibus accenditur. fed non folum febris, verum etiam acceffio debent convenire: ut uterque vigor, et privatae acceffionis, et morbi ipfius, in unum incidat. Vehementes autem potiones voco eas, quae magnopere augentur, cum morbum crifi diffolutum

76) δὲ interponendum videtur.

νιϛικὰς πόσεις, τὰς μεγάλως αὐξομένας, ὁπότε λύσαι τὴν νόσον ἐλπίζομεν κρίσει. πρὸ γάρτοι τῆς ἀκμῆς τοῦ παθήματος, ὅτε πειθόμεθα, μὴ δύνασθαι κινῆσαι κρίσιν, ἐπιψύξεως ἕνεκα χρώμεθα τῷ ποτῷ, μετρίαν αὐτοῦ τὴν πόσιν ἐργαζόμενοι. δοίημεν δ᾽ ἂν αὐτὸ κατὰ τὰς ἀκμάς ποτε, καὶ μόνον μὲν, καὶ σὺν ὀξυμέλιτι καὶ ὀμφακομέλιτος δὲ τὸ μέτριον 77) ἐπιπλέξαντες, καὶ ἄλλοτε ῥοδομέλιτός τε καὶ οἴνου τινὸς τῶν πορίμων. καὶ μάλιϛ᾽, ἐὰν ᾖ τὸ διὰ τοῦ ὕδατος ἐσκευασμένον. βραδύπορον γὰρ φύσει τὸ ὕδωρ. μικρῷ δὲ κάλλιον, καὶ οἶνον ἀνθ᾽ ὕδατος λεπτότερον καὶ διαυγέϛερον παραλαμβάνειν ἐπὶ τῆς τῶν κωδύων ἑψήσεως. ποριμώτερον γάρ ἐϛι μετὰ 78) τοῦτο ῥωϛικὸν ἔχειν. ἀλλὰ κἀπὶ τοῦ πυκνοτέρου δέρματος ἄμεινον ἀρήγει ὁ τοιοῦτος οἶνος μιγείς. ὥσπερ οὖν ἐπὶ τῶν ἀραιοτέρων σωμάτων ἢ ϛόματος τῆς κοιλίας ἀσθενεϛέρου ὀμφακομέλι, καὶ μᾶλλον, εἰ ἀνορεξίᾳ διοχλοῖτο. καὶ τοῖς γλυκυπόταις, ἤ τι κατὰ κοιλίαν ἔχουσι φαρμακῶδες ἐῤῥυηκὸς ὑγρὸν ἢ χολῶδες. ἢ ῥοδόμελι δὲ μίγε πηαν 79 τοῖς οὕτω διακειμένοις. ταῦτα μὲν ἐπὶ τῶν πυρετῶν ἀπόχρη προδιορίσασθαι. τῶν δὲ ἄλλων παθῶν ἐφεξῆς μνηϛέον. οὐ γὰρ πνεύμονι μόνῳ ἐκπεπυρωμένῳ τε καὶ ῥευματιζομένῳ ἢ βήττοντι χρήσιμον ὑπάρχει τὸ ποτόν· ἀλλὰ καὶ τοῖς ἄλλοις σπλάγχνοις. διὸ καὶ προσφέρομεν, οὐχ ἡπατικοῖς μόνοις ἢ σπληνικοῖς, ἀλλὰ καὶ νεφρούς τε

iri ſperamus. nam ante morbi vigorem, cum nobis perſuademus, criſin nihil movere poſſe, nos refrigerationis cauſa potione utimur: ejuſque moderatam menſuram damus. ſed eandem etiam dare poterit quiſpiam in ſtatu, vel ſolam, vel cum oxymelite: et cum omphacomelite, modicum tamen admiſcens. et alioqui etiam cum rhodomelite, et vino aliquo eorum, quae permeant: ac praeſertim, si confectio ex aqua facta ſit: cum aqua ſuapte natura tardi ſit tranſitus. Eſt autem paulo melius ad capita papaverum docoquenda, vinum quod magis tenue ac perlucidum ſit, quam aquam aſſumere. ita enim melius penetrat, et roborandi quoque vim habet. quinetiam in cute denſiore hoc vinum admixtum melius adiuvat: quemadmodum etiam omphacomeli aptius eſt in corporibus rarioribus, aut ore ventriculi imbeciliore, et magis etiam, si cibi faſtidio teneatur. iis praeterea, qui dulcia bibunt, aut aliquem in ventre habent medicamentoſum humorem fluentem, aut bilioſum, iis, qui ita affecti ſint, rhodomeli admiſcebis. atque haec quidem in febribus ſatis diſtincta ſint nobis. caeterarum vero affectionum deinceps eſt facienda commemoratio. Hic igitur potus non ſolum pulmoni ſuppurato, et defluxione oppreſſo, et tuſſienti utilis eſt, ſed caeteris itidem viſceribus. quam ob rem damus non modo hepaticis, et ſpleneticis, ſed etiam, quibus renes, et veſica vitium contraxerunt: si modo calida ſit affectio.

77) De hoc dubito. Forte, ἐπιβρέξαντες.

78) Rasarius videtur voluisse: μετὰ τοῦ καὶ ῥωϛικὴν δύναμιν ἔχειν. Forte: μετὰ τοῦ καὶ τὸ ῥῶς.
79) Ita, sine sensu. Rasarius videtur voluisse, μίσγοις ἄν.

κύϛιν βεβλαμμένοις, εἰ θερμὸν εἴη τὸ πάθος. ϛραγγουρίας γοῦν ἐπὶ δριμύτητι τῶν οὔρων γιγνομένας καταϛέλλει μεγάλως, καὶ μάλιϛα ἐν βαλανείῳ τὲ καὶ πρὸ βαλανείου, μέλλουσιν εἰσιέναι, διδόμενον δαψιλὲς, ἐφ' ὧν δὴ καὶ τὴν δίαιταν ἁδροτέραν τὲ καὶ εὔχυμον εἶναι κελεύομεν, καὶ νεφρητικῶν δὲ, ὧν γε κενεῶνες καὶ ψύαι θερμότεραι, ἀγαθὸν ὑπάρχει τοῦτο τὸ ποτόν· καὶ τοῖς 82) διαβήτῃ τὲ καὶ χολέρᾳ κινδυνεύουσιν, οἷς ἀμφοτέροις, μηδενὸς εἴργοντος, καὶ ψυχρῷ κερασθὲν ἀκραιφνεῖ, χρησιμώτατον. τὸ γάρτοι τῶν χολερικῶν ἔσχατον ἴαμα, ψυχρὸν ὑπάρχει ποτόν. προσήκει δὲ πρότερον αὐτῶν ῥωννύναι τὴν ὅλην γαϛέρα μηλίνῳ καὶ μαϛιχίνῳ, καὶ ὄμφακος ϛαφυλῆς χυλῷ, καὶ 84) ϛυπτηρίας βραχεῖ τῆς σχιϛῆς, καὶ τοῖς ὁμοίοις τρίβειν τὲ τὸ δέρμα τὸ 85) τοῦ κάμνοντος ὅλον πολυχρονίως χερσὶν ἀνηλίφοις, 86) ἢ καὶ μαλακοῖς ὀθονίοις. σικύας τὲ προσβάλλειν νώτῳ καὶ μεταφρένοις καὶ θώρακι· κᾆπειτα διδόναι τοῦτο τὸ ποτὸν σὺν ὀμφακομέλιτι θερμῷ κεραννύμενον. εἰ δὲ καὶ τούτων πραττομένων ἡ κένωσις ἐπιμένοι σφόδρα, καὶ συγκοπῆς καὶ σπασμῶν προσδοκία τὶς εἴη, καὶ φό-

ergo urinae ſtillicidia, quae ex lotii acrimonia ſint exorta, praecipue vero in balneo, aut ante balneum, copioſo datus efficaciſſime comprimit. inſtituendaque iis eſt victus ratio craſſior, et ſucci melioris. Ad renum autem vitia, et cum ilia, atque lumbi calidiores ſunt, hic potus valde facit. itemque accommodatus eſt iis, quibus diabete, et cholericae affectiones periculum minantur. in quibus utriſque, ſi nihil vetet, frigida temperatus, ſaepe eſt utiliſſimus. etenim extremum cholericorum affectuum remedium frigidus potus eſt. ſed totus venter prius roborari debet melino, et maſtichino, et vuae acerbae ſucco, et aliqua portiuncula aluminis ſciſſilis, et caeteris generis ejuſdem: totaque aegroti cutis diutius confricanda eſt manibus inunctis, aut etiam linteis mollibus: tum cucurbitulae dorſo, ſcapulis, et thoraci affigendae: poſtremo hunc potum calido omphacomelite temperatum dabimus ſi vero his peractis inanitio valde perduret, ſitque aliqua ſyncopes, et conuulſionis ſuſpicio, atque timor, ad frigidae potionem necesse eſt confugere. Thoracem vero evacuabis, ſi hoc quoque opus esse propter vigilias, aut calorem immoderatum videbis. ſi vero concoquendus morbus ſit, butyro, et terebinthina, et iride,

80) Pro eodem alii ſcribunt βρήσσειν: v. Galen. in Gloss. p. 68 et Hippocratem. βήττειν et βήσσειν Xenoph. p. 46. A. Diog. Laert. p. 360.

81) Sic in marg. In textu εἰς.

82) Codex: διὰ βήτῃ. Vide Aretaeum περὶ χρον. παθῶν lib. II. cap. 2. Galen. περὶ κρίσ. I, 12 Alex. Trall. VIII, 8 Paul. Aegin. III, 45.

83) In utroque intelligitur, ἐλαίῳ. v. Dioscor. I, 55. p. 31. I. 51. p. 29.

84) Dioscor V, 123 p. 373.

85) τὸ malim excludere.

86) Esse hoc ex ἀλείφω, quiuis intelligit. ἀνήλιφος tamen non reperi. Forte, ἐναλείπτοις.

βος, ἐπὶ τὴν τοῦ ψυχροῦ πόσιν ἀνάγκη καταφυγεῖν. θώρακα δὲ ἐκκενοῦν προαιρούμενος, εἰ καὶ 87) τοῦτο βλέποις εἶναι χρείαν, δι' ἀγρυπνίαν ἢ θερμασίαν ἄμετρον. εἰ μὲν συμπέψεως δέοι τῷ σώματι, 88) βούτυρόν τε καὶ τερμινθίνη, ἶριν 89) τὲ σὺν αὐτοῖς χρονιζομένου δὲ, διδόναι καὶ μέλι, καὶ τὰ ὅμοια, καὶ εἰς ὕπνον τρεπομένῳ, τὸ ποτόν. εἰ δὲ τέμνειν τὸ περιεχόμενον, ἀποῤῥύπτειν τὲ δέοι, καὶ ταῦτα μὲν, ἀλλὰ καὶ γλήχωνος 90) κόμης, ὑσσώπου τέ τι καὶ ἀδιάντου, καὶ πάνακος ἐναφεψημένων ὕδατι, καί τι καὶ ὀξυμέλιτος, μόνου τὲ καὶ σὺν τῷ τῶν βοτανῶν ἀφεψήματι, καὶ κατὰ τὸν καιρὸν τὸν εἰρημένον, ἅμα τῷ διὰ τῶν κωδύων φαρμάκῳ, καὶ εἰ δεήσειέν ποτε, καὶ καθ' ἡμέραν, εἰ καὶ κατ' ἄλλον τινὰ τῆς νυκτὸς χρόνον, καύσου τινὸς ἐπείγοντος ἢ ἀγρυπνίας.

una cum eis uti poteris. ſi inveterarit, mel quoque et ſimilia danda erunt, et cum ſomno ſe tradiderit, potum ipſum dabis. Si vero humores contentos ſecare, et abſtergere oporteat, tum haec ipſa, tum vero etiam pulegii comam, itemque hyssopi, et adianti, et panacis ex aqua decoques: atque etiam oxymel ſolum, vel cum herbarum decoctione propinabis. id quod facies eo tempore, quod ante dixi, una cum medicamento, quod ex papaverum capitibus conficitur: et, ſi opus fuerit, etiam de die, aut alio quoque aliquo nocturno tempore, cum febris ardens aliqua, aut vigiliae urgeant.

ΚΕΦ. κ.

Ἐκ τῶν Φιλαγρίου. περὶ τοῦ ἀπὸ τῶν κυδωνίων μήλων, καὶ τοῦ ἀπὸ τῶν κράνων καὶ ὕδατος. Ἐκ τοῦ αὐτοῦ λόγου.

Τὸ δὲ ἀπὸ τῶν μήλων, τῶν κυδωνίων, σκευάζεται τοῦτον τὸν τρόπον. περιαιρεθέντα χρὴ, τοῦ τε φλοιοῦ, καὶ τῆς ἐντεριώνης, ἑψεῖν αὐτὰ σὺν ὕδατι πηγαίῳ καλῷ, μέχρις ἂν ἡ τρίτη μοῖρα διαφορηθῇ τοῦ ὕδατος, καὶ τὰ λειπόμενα δύο μέρη καλῶς ἐγχέαντα κεραμίοις ἀγγείοις, οἷς εἰρήκαμεν, ἐν οἴκοις ἐπιτηδείοις ἀποτίθεσθαι. γίγνεται μὲν γάρ οἰνῶδες καὶ αὐστηρόν. ὠφελεῖ δὲ κοιλιακοὺς πινόμενον, καὶ ῥώννυσι στόμα κοιλίας ἄτονον, καὶ ἧπαρ ἔσθ' ὅτε

Philargii, de confectione ex malis cydoniis, & quae ex cornis & aqua fit, ex eodem libro excepta. Cap. 20.

Confectio ex malis cydoniis ad hunc modum paratur. aufertur cortex, et medulla: et coquuntur ex optima aqua fontana, donec tertia pars aquae conſumatur: reliquae vero duae partes vasis fictilibus recte infunduntur, et praedictis locis accommodatis reponuntur. Fit hoc vinosum et auſterum, et potum coeliacis prodeſt: et os ventriculi imbecillum, atque hepar corroborat, cum ſeipsis humidiora quandoque ſunt facta. quandoque autem optimum mel admixtum, perfecta iam coctione, inditur: idque non ſolum voluptatis causa, ſed etiam ut

87) Forte, τούτου.
88) In marg. νοσήματι.
89) Nominativi et Accuſativi conſiſtere nequeunt.
90) In textu: γλήχουσι, et in margine: γλήχονος.

καθ' ὃν καιρὸν ὑγρότερα γέγονε σφῶν αὐτῶν. μίγνυται δὲ καὶ μέλιτος ἐνίοτε καλοῦ τῷδε τῷ πόματι, συντελουμένης ἤδη τῆς ἑψήσεως, συν τινι μιγνύμενον, οὐκ εἰς ἡδονὴν μόνον, ἀλλὰ καὶ φυλακὴν τῆς συνθέσεως. οὐ γὰρ ἂν σαπείη ῥᾳδίως τὸ ὑγρὸν, προσλαβὸν μέλιτος. δῆλον οὖν, ὅτι τὸ τοιοῦτο τοῖς ῥύψεως δεομένοις ἅμα καὶ στύψεως ἁρμόσσει νοσήμασιν, οἷάπερ καὶ τὰ τῶν ἑλκομένων ἐντός ἐστι μορίων, ἐντέρων, στόματος κοιλίας καὶ στομάχου. τῷδε 91) παρεοικός τι ποτὸν καὶ ἐξ ἄλλων μέν τινων γίνεται· μάλιστα δ' ἐκ τῶν κεράνων 92) ὀνομαζομένων, τήν τε σύνθεσιν ὁμοίαν, τήν τε χρῆσιν ἐχόντων τῷ διὰ τῶν μήλων τῶν κυδωνίων.

K E Φ. κα.

Περὶ ὀμφακομέλιτος. Ἐκ τῶν Φιλαγρίου. Ἐκ τοῦ αὐτοῦ λόγου.

Βότρυας ὄμφακος προσήκει λαβεῖν, μέλλοντας ἀρχὴν ὑπομένειν πεπάνσεως, ὅτε δὴ καὶ τὴν ὀξεῖαν ἀκμάζουσαν ἔτι διασώζουσι ποιότητα, μηδὲ τῆς στύψεως ἀπηλλαγμένοι. κἄπειτα ἐν οἰκήματι τιθέναι, τὴν κρᾶσιν συμμέτρῳ, τριῶν ἢ καὶ τετάρων ἡμερῶν, καὶ μάλιστ', ἐὰν ὑγρότερος ὁ περιέχων ἀὴρ τυγχάνῃ, θλίψαντά τε μετὰ τὴν ἀπόθεσιν εἰς ἀγγεῖον ὑελοῦν 93) δέχεσθαι τὸ ὑγρὸν, μίξαντά τε καλοῦ μέλιτος ἀπηφρισμένου μέρος ἓν πρὸς τρία μέρη, θερμαίνειν ἐν ἡλίῳ πλειόνων ἡμερῶν, μέχριπερ ἂν καταστῇ ζέσαν τὸ τῆς ὄμφακος ὑγρόν. τοῦτο δ' ἐν πολλῷ γίνεται χρόνῳ, κἄπειτα ἐν ὑπερῴῳ καταθερμαίνων οἰκήματι φυλάττειν

compositio conservetur. humor enim, ſi in eo mel ſit, non facile putreſcit. eſt ergo perſpicuum, id convenire iis morbis, in quibus abſtergendum una, et adſtringendum ſit: quales ſunt partium internarum ulceratarum: ut oris ventriculi, atque ſtomachi. Huic ſimilis quidam potus ex aliis quibusdam ſit, et praeſertim ex iis, quae corna dicuntur: qui et eodem modo conficitur, et parem ei, qui ex cydoniis ſit, uſum habet.

De omphacomelite. Philagrii, ex eodem libro. Cap. 21.

ἐνέργειαν εὐμεταχείριστον πλαττομένην ἰδεῖν ἐστὶ τὴν σάρκα· διὰ δὲ τῶν ἄλλων γυμνασίων, ἀντίτυπον, καὶ σκληρὸν, καὶ δυσαίσθητον. 71) διὸ καὶ τὴν γνώμην ἠλιθιώτεροι γίνονται τῶν ἰδιωτῶν οἱ πολλοὶ 72) τῶν ἀθλητῶν. προκριτέον οὖν ἡ διὰ τῆς φωνασκίας ἄσκησις. πρῶτον μὲν γὰρ, αὐταῖς ταῖς ἀναγνώσεσι καὶ προσφοραῖς 73) φανερὰς ποιεῖται τῶν πλεοναζόντων ὑγρῶν τὰς ἐκκρίσεις, 74) τοῖς μὲν συντονώτερον ἀναγινώσκουσι, μᾶλλον, καὶ δι᾽ ἱδρώτων· τοῖς δὲ ἐπιεικέστερον ἐντεινομένοις, διὰ τῆς ἀδήλου γινομένης ἀποφορᾶς καθ᾽ ὅλον τὸν ὄγκον· πᾶσι δὲ ὁμοίως διά τε τῆς κατὰ τὴν προφορὰν ἐκπνοῆς πολλῶν ἐκφυσωμένων ὑγρῶν, καὶ κατὰ τὸν ἐπιγινόμενον ὑπὸ τῆς ἐκφωνήσεως ἐρεθισμὸν καὶ ἀπολεπτυσμὸν πολλῶν περιττωμάτων ἀναχρεμπτομένων, καὶ πτυελῶν, καὶ μύξης, καὶ φλέγματος προχωρούντων. γίνεται δὲ καὶ κατὰ τὴν σύντονον ἀναπνοὴν, ἐκ τῆς φωνασκίας κατασκευαζομένην, 75) ἄνευ ῥυπομένων τῶν ἀγγείων, ἀπανάζωσις 76) πολλὴ τῶν ὑγρῶν, ἀδήλως τε κατὰ τὴν ἐπιφάνειαν τοῦ σώματος, καὶ διὰ ῥινῶν ἐκφυσωμένων, 77 a) καὶ διὰ στόματος. τοῖς γε μὴν

tiones facit: qui vero maiore vi legunt, maiores, atque adeo etiam per ſudores: qui vero lenius legunt, per occultam exhalationem, quae in tota mole corporis efficitur: atque in omnibus ſimili modo per effluxionem, cum exſpirando multi humores extra efferuntur: et ex irritatione facta a vociferatione, et attenuatione, ut multa excrementa, et ſputa, et muci, et pituitae proruentes excreentur. Iam vero ex robuſta reſpiratione, quam vociferatio praeparavit, praeterquam, quod vaſa abſterguntur, multi etiam humores conſumuntur, qui et clam per corporis extremitatem, et per nares, et per os efflantur. Iis vero, qui recalfaciendi ex frigiditate ſunt, ecquod majus auxilium afferri poteſt, quam actio reſpirationis exercitatae? Spiritus enim calorem noſtrum aſſiduo motu ex colliſione attrituque excitat, et ſuſcitat: talemque reddit per inceſſantem actionis in corpore noſtro feruorem. quocirca, si non ſingulas in nobis partes, reſpirationis refrigeratione refrigeramus,

71) Paullo ſuperius, nota 37. eſt δυσπαθής.

72) Interpoſuerim καὶ, poſt πολλοί. Ἰδιῶται h. l. ἀποχειροβίωτοι. Mox malim, προκριτέα.

73) Immo, προφοραῖς. v. vers. 13. προφορὰ de voce et oratione dicitur: προσφορὰ de cibis, medicamentis, ſacrificiis.

74) Malim, καὶ τοῖς μέν. Mox malim etiam transponere ſic: συντονώτερον ἐντεινομένοις — ἐπιεικέστερον ἀναγινώσκουσιν. In uſu eſt, ἐντείνειν μέλος, μουσικήν.

75) ῥυπομένων in textu ſubnotatum eſt linea et in margine additum: ῥυπτομένων. Ego conjungo iſta duo vocabula, et conjicio: ἀνευρυνομένων. Sic paullo ſuperius, nota 63. legitur: τοῖς ἀγγείοις ἀνεῳγότες, ubi etiam τὰ ἀγγεῖα locum habebat, intellecto κατά.

76) Forte, ἀπανάλωσις. Vide mox p. 101. vers. 7.

77 a) Sic correxi. Refertur enim ad ὑγρῶν. In Codice eſt, ἐκφυσωμένου.

θερμασίας δεομένοις διὰ ψυχρότητα, τίς ἂν ἄλλη προσφορωτέρα γένοιτο βοήθεια τῆς κατὰ τὴν ἠσκημένην ἀναπνοὴν ἐνεργείας; τὸ γὰρ πνεῦμα τὴν ἐν ἡμῖν θερμασίαν τῷ πολυκινήτῳ τῆς φορᾶς κατὰ τὴν παράτριψιν ἐγείρει, καὶ ζωπυρεῖ, τοσαύτην ἀποτελοῦν διὰ τὴν τῆς ἐνεργείας ἀδιάλειπτον ἐν τῷ σώματι πύρωσιν, ὥς, εἰ μὴ παρ' ἕκαστον ἀναψύχομεν 77b) ἑαυτοὺς, τῇ διὰ τῆς ἀναπνοῆς καταψύξει, λαθεῖν ἂν ὅμοια παθόντας τοῖς εἰς 78) πολλὴν ἐμπεσοῦσι τῆς πλείονος ἐν ἡμῖν ὑγρασίας, καὶ τὴν τῆς σφοδροτάτης καταψύξεως ἐπανόρθωσιν οἱ κατὰ τρόπον πεφωνασκηκότες καλῶς ἔχουσιν εἴρηται. πόχε μὴν ξηρὸν ἢ τὸ θερμὸν, ἐὰν ἐν τοῖς σώμασι πέρα τοῦ μετρίου δοκῇ πλεονάζειν, ὁ πολὺς διὰ τὴν εὐρύτητα τῶν πόρων κατὰ τὴν ἀναπνοὴν εἰσιὼν ἀὴρ ἀνυγραίνοι ἂν μάλιστα τὰ κατεξηραμμένα καὶ μαλάσσοι τὴν ὑπὸ τῆς ξηρασίας ἀπειργασμένην σκλυρότητα, λεπτομερέστερος ὢν καὶ ὑγρότερος παντὸς ὕδατος. τήν γε μὴν ἐν τοῖς σώμασι τοῦ μετρίου πλείονα θερμασίαν τί χρὴ λέγειν, ὡς οὐδὲν ἂν καταψύξαι καὶ σβέσαι μᾶλλον, τοῦ κατὰ τὴν ἀναπνοὴν ἑλκομένου διηνεκῶς ἀέρος. δεῖ τοίνυν ἀναγινώσκειν τὲ πολλάκις, προφέρεσθαί τε, τὸ σῶμα πᾶν ἀνιέντας, καὶ κεχυμένης τῆς σαρκὸς εἰς ἀραίωσιν διϊστάντας ἐπίτηδες, τήν τε ἀρτηρίαν, καὶ τὰς ἄλλας διεξόδους τοῦ πνεύματος κατὰ τὰς βαρίτητας φθέγγεσθαι τῆς φωνῆς ἀπηχήσεις. τοῖς μὲν ἐπὶ τὰς νήτας ἐκ προσαγωγῆς φιλοτέχνως ἀναβαίνουτι φθόγγοις πολλὰ χαίρειν λέγοντας. 79a) ἰσχύομεν γὰρ, καὶ δυνάμεως, καὶ ἐπιτά-

lateat nos similia pati, qualia patiuntur ii, qui in majorem humiditatem cadunt, * quam sit in nobis, atque etiam vehementissimae refrigerationis correctionem eos recte consequi, qui rite vociferatione usi fuerint, dictum est. Quinetiam, si in nostris corporibus siccitas et calor praeter modum redundare videantur, multus aër per meatuum latitudinem respirando ingrediens, quae exsiccata sint, maxime humectabit, et cum sit tenuiorum partium, et liquidior, quam omnis aqua, duritiem a siccitate inductam emolliet. porro autem calorem, qui in corporibus praeter modum sit, quid attinet dicere, quam a nullo alio magis, quam ab aëre continenter per respirationem attracto refrigeretur atque extinguatur? Oportet ergo saepe legere, corpusque totum laxare et remittere, carnemque raritate perfundere, arteriam, caeterosque transitus spiritus studiose diducere, et per gravissimas vocis terminationes modulari. Ut autem procul a nobis valeant soni, qui ex additione ad notas studiose conscendunt, faciendum est. Scimus enim, et viribus, et intentioni meatuum alienissimum esse vocis acumen. Sonorum vero concinnitates, varietates mutationibus cantus temperatis conueniunt: sed nihil est, quod ad salubrem corporis tutelam conducant. vociferationibus vero, quae per hypatas fiunt, quam maxime fieri potest, sonum dilatare coguntur. at in iis, qui legunt ita, ut audiantur, aut differunt,

77 b) Forte, ἀναψύχοιμεν aut ἀναψύχωμεν.

78) Haec corrupta sunt Vide in indice ἐμπίπτειν. Versu 19. Cod. ἀπηργασμένην, quod correxi.

79 a) Rasarius εἴδαμεν videtur probasse. Mihi in mentem veniebat: ἰσχυρίζομεν, seu, διϊσχυρίζομεν γάρ, ὅτι καί. Paullo ante vers. 28. legendum videtur βαρύτατας.

σέως πόρων ἀλλοτριώτατον φωνῆς ὀξύτης· εὐμέλειαι δὲ καὶ ποικιλίαι φθόγγων, μεταβολαῖς εὐκράτοις μελῶν, πρόσφορον· ὧν οὐδὲν ἂν εἰς σώματος ὑγιεινὴν ἀσφάλειαν εὑρεθείη χρήσιμον· ταῖς δὲ κατὰ τὰς ὑπάτας ἐκφωνήσεσι πλατύνειν, ὡς οἷόν τε μάλιστα, τὸν ἦχον βιαζομένη. φανερώταται γὰρ ἀπαναλώσεις γίνονται τῆς ἔνδον ὑγρασίας τοῖς ἀναγιγνώσκουσιν ἀκουστὸν, ἢ 79b.) διαλεγομένοις. δηλοῖ δὲ ὅ, τε θεωρούμενος ἐπὶ τῶν ἀναγινωσκόντων ἀθροῦς ἐκ τοῦ στόματος ἐξιὼν ἀτμὸς, καὶ τῶν παλαιοτέρων χυμῶν 80) οἱ κατὰ τὰς ἀποτεταγμένας ἑκάστῃ τῶν διεξόδων διεκκρινόμεναι περιττώσεις, οὐ μόνον κατὰ τὰς λεγομένας ἐκπνοὰς, ἀλλὰ καὶ παραχρῆμα φανερῶς, διά τε πτυέλων, καὶ μύξης, καὶ φλέγματος ἐν ταῖς ἀποχρέμψεσι, δι' ὧν ἁπάντων ἀποτρίβεται τὸ σῶμα τὰς νοσοποιοὺς αἰτίας. χρηστέον δὲ ταῖς εἰρημέναις τῆς φωνῆς ἐνεργείαις, οὔτε εἰκῇ, οὔτε ἀπερισκέπτως, καὶ μάλιστα τοῖς ἀσυνήθως ἐπὶ τὴν εἰρημένην ἄσκησιν ἐρχομένοις· ἀλλὰ μήτε φαύλων καὶ διεφθαρμένων μεστοὺς ὄντας ὑγρῶν, μήτε ἐπὶ μεγάλαις τοῦ στομάχου καὶ φανεραῖς ἀπεψίαις ἐπὶ τὴν διὰ τῆς φωνῆς γυμνασίαν ἀφικνεῖσθαι, ὅπως ἂν μὴ πλείων ἀνάδοσις τῶν διεφθαρμένων ἀτμῶν εἰς τὸ σῶμα γένηται, διὰ τῆς κατὰ τὴν εἴσπνοὴν, καὶ πάλιν ἐκπνοὴν, ἐνεργείας εὐτονωτέρας τε καὶ βιαιοτέρας γιγνομένης, ἐν τῇ τῆς φωνῆς εἰς μέγεθος καὶ πλῆθος παραυξήσει.

internam humiditatem evidentiffime confumi, declarat denfus vapor ex ore legentium prodiens. et fuperfluitates vetuftiorum humorum, qui unicuique meatui adhaerebant, quae excernuntur, non folum in praedictis exfpirationibus, fed per alia, quae extemplo appareant, ut per fputa, mucos, pituitam, quae expelluntur. quibus omnibus corpus ipfum caufas morborum effectrices extrudit et reiicit. praedictis autem vocis actionibus neque temere, neque inconfulto utendum eft, ac praefertim iis, qui, huic exercitationi non affueti, incipiunt, neque etiam cum pravorum, corruptorumque humorum adfit copia. quin etiam vox non eft exercenda tum, cum magnis et evidentibus cruditatibus ftomachus obfidetur: ne ex actione infpirationis et exfpirationis, quae firmior, et citatior facta fit, dum vox in magnitudinem et multitudinem accrevit, vapores corupti largius per corpus diftribuantur.

---

79. b) Pag. 100. vers. 25 ἀναγ. καὶ προφέρεσθαι.

80) Immo αἱ. Refertur enim ad περιττώσεις. Vers. 3. vel ἀπρόσφοροι, vel ἀπρόσφορον, et vers. 6. βιαζόμεθα..

ΚΕΦ. κ.

Ἐκ τῶν Ἡροδότου. Περὶ τρίψεως ἀνασκευαστικῆς. Ἐκ τοῦ περὶ ποιουμένων βοηθημάτων λόγου.

Τὰς δὲ τρίψεις τὰς παραλαμβανομένας ἕνεκα πυρετῶν λύσεως, ἐν τοῖσδε τοῖς καιροῖς παραληπτέον. περὶ γὰρ τὴν ἀκμὴν τῆς νόσου τυγχάνουσιν ἐπιτήδειοι, οὐ κατὰ πάντα δὲ μέρη, ἀλλὰ περὶ τὰ ἔσχατα, ὡς μὴ μακρὰν τῆς παρακμῆς εἶναι. τῶν δὲ κατὰ τοὺς παροξυσμοὺς καιρῶν αἱετέον 81) τὴν ἐν τῇ παρακμῇ πρῶτον. ὑφορατέον δὲ τοὺς περὶ τοῖς μέσοις 82) φλεγμονὰς ἔχοντας, ὧν παρουσῶν ἀδύνατόν ἐστι λυθῆναι τὸν πυρετόν. πεφυλάχθαι δὲ δεῖ καὶ τὰς δυσπνοίας καὶ τοὺς ἐπιφαινομένους ἱδρῶτας ἀτάκτως περὶ ὅλῳ τῷ σώματι ἢ περὶ τῷ προσώπῳ καὶ τραχήλῳ. τοὺς οὖν κριθέντας ἐπιτηδείως, 83) ἐν τῇ τῆς παρακμῆς ἀρχῇ, θέρους 84) καὶ φθινοπώρου, ἐν εὐκράτῳ τόπῳ κατακλιτέον. ἔχοιμεν δ' ἂν ὑδρέλαιον θερμὸν ἐν ἑτοίμῳ, συνεμβεβλημένου 85) ἀφρονίτρου ὀπτοῦ. ἡ δὲ τρίψις, ἐπὶ μὲν τῶν νεωτέρων καὶ βραχυτέρων, γιγνέσθω διὰ τεσσάρων· ἐπὶ δὲ τῶν ἀκμαζόντων καὶ μειζόνων, δι' ἓξ τριβέσθωσαν. τριβέτωσαν δὲ οἱ μὲν, βραχίονας μέχρι τῶν ἐν χερσὶ δακτύλων· οἱ δὲ, θώρακα μέχρι βουβώνων· οἱ δὲ, σκέλη μέχρι ποδῶν· περιχυθέντος δὲ τοῦ λίπους παραγέτωσαν ἄνωθεν κάτω τὰς χεῖρας, πᾶν μέρος τρίβοντες· εἶτα

De frictione, quae ad ferbrim tollendam adhibetur. Ex libro Herodoti de auxiliis, quae fiunt. Cap. 20.

Frictiones, quae caufa foluendae febris adhibentur, hifce temporibus funt adminiftrandae. conueniunt enim circa morbi ftatum, non omni quidem in parte, fed extrema, ut non longe a declinatione abfit. in temporibus vero acceffionum, primum in declinatione fieri debent. obfervandi tamen funt, qui partes aliquas inflammationibus obfeffas habent. nam si eae fint, diffolui febris nullo pacto poterit. quin obfervare etiam oportet fpirandi difficultates, itemque fudores, qui fine ordine in toto corpore, aut vultu, et collo, fefe oftendunt. ergo quibus facta crifis eft, in principio declinationis, aeftate atque autumno, accommodate in loco temperato reclinabis, atque inibi paratum hydrelaeum calidum, in quo aphronitrum toftum iniectum fit, habebis. frictio autem in iunioribus, et minoribus, a quatuor fiat: in iis vero, quorum aetas floret, quique maiores funt, a fex adminiftretur: ut alii brachia ad manus digitos ufque fricent, alii thoracem ufque ad inguina: alii denique crura ufque ad pedes. effufo vero pingui aliquo, manus fuperne deorfum deducant, ita, ut pars omnis infricetur.

---

81) Ita in textu. In marg. legitur folum παραληπτέον. Equidem conjicio: αἱρετέον τέν.

82) In marg. μέρεσιν, loco μέσοις. τὰ μέσα μέρη videtur intelligere ea, quae thoraci fubjacent. Rasarii *aliquas* contrarium eft Graeco. Mox ter malim ἐπὶ, loco περί.

83) Forte, ἐπιτηδείους.

84) Ita in marg. In textu: θερμάς.

85) Vide Aët. II, 60. et Dioscor. V, 131. p. 378. Mox vers. 24. malim δι' ἕξ. τριβέτωσαν δέ.

πρηνῆ σχηματίσαντες ἀναλέγῳ 86) τριβέτωσαν. καὶ κατὰ μὲν τὰς ἀρχὰς τῇ παραγωγῇ κούφῃ καὶ βραδείᾳ χρήσθωσαν· ὕστερον δὲ ταχείᾳ καὶ πεπιεσμένῃ· τὸ δὲ τελευταῖον, ἀνειμένῃ, 87) καὶ κατὰ πάντα ἐμφερεῖ τῇ πρώτῃ. διαψηλαφάσθω δὲ 88) καὶ τὰ περὶ τὴν κεφαλὴν καὶ τὸν αὐχένα, ἐμβεβλημένου τοῦ λίπους. τριβέσθω δ' ἕκαστον μέρος ἐπὶ μὲν τῶν νεωτέρων, ὡς ἑκατοντάκις· ἐπὶ δὲ τῶν ἀκμαζόντων, διακοσιάκις· ἐπὶ δὲ τῶν ἀθλητικῶς βιούντων διπλασιαζέσθω τὸ πλῆθος. ἐν δὲ τῷ τρίβεσθαι, πολλῆς τῆς εὐαρεστήσεως οὔσης καὶ τοῦ πυρετοῦ συναποπαυομένου, παρούσης εὐπνοίας καὶ εὐχροίας, καὶ τοῦ περὶ τὸν σφυγμὸν μεγέθους μὴ παραπολὺ ταπεινουμένου, μηδὲ πυκνουμένου, προσανθούσης δὲ καὶ τῆς σαρκὸς μετ' ἐρυθήματος, προσθετέον τῷ πλήθει. εἰ δὲ καὶ τριβομένοις ἱδρὼς γένοιτο, πρότερον μὴ γενόμενος, εἰδέναι δεῖ, καλῶς τε 89) προηγμένην τὴν τρῖψιν, καὶ ὠφελούμενον τὸν νοσοῦντα, ἔχοντα μέντοι χρείαν καὶ δευτέρας πείρας. οὐδὲ 90) ἐπὶ τῶν ἴσων παροξυσμῶν μένειαν, μηδενὸς ἀπαντήσαντος, ὡς πρὸς αἴσθησιν, μήτε ὠφελίμου, μήτε βλαβεροῦ, παρ' ἑαυτῶν λαμβάνοντας τὴν προτροπὴν, ἐπιμένειν δεῖ τοῖς κριθεῖσιν. ἔσται γὰρ φανερὰ τὰ τῆς ὠφελείας ἐκ τῆς δευτέρας προσαγωγῆς. πᾶσι δὲ, μετὰ τὰς τρίψεις, ὕδατος θερμοῦ τὸ αὔταρκες ἐπιδοτέον. καὶ εἰ μὲν παρεῖεν οἱ τῆς ἀνέσεως καιροὶ, μετὰ τὴν ἀπὸ

deinde hominem pronum ſtatuant, ipſumque ad eandem proportionem fricent. ac principio quidem levi manuum iniectione, lentaque utantur: deinde vero, celeri et comprimente: poſtremo vero, remiſſa, et quae in omnibus primae ſit par atque ſimilis. Iam vero etiam partes capitis, et ceruix, adiuncto pingui, contrectentur. Partes autem ſingulae, in iunioribus centies, in florenti aetate ducenties fricentur: in iis, qui athletarum more vitam degunt, duplicandus eſt numerus. Interim vero, dum frictio adminiſtratur, ſi multa hilaritas adſit, ſimulque febris ſedetur, faciliſque reſpiratio, et bonus color appareat, et pulſus magnitudo non ita multum ſit imminuta, neque denſus pulſus ſit, et caro in tumorem adiuncto rubore ſit elata, tum numero frictionum aliquid debet accedere. at ſi iis, qui fricantur, ſudor prodeat, qui prius non apparebat, tum ſcire convenit, recte progreſſam eſſe frictionem, et inde utilitatem aegrotanti fuiſſe allatam: et tamen eum ſecunda quoque experientia indigere, neque etiam, cum pares acceſſiones fiunt, nihilque occurrit, quod, ſenſus iudicio, utile, aut noxium ſit, ſed per ſe ipſae impulſus capiunt, expectanda criſis eſt. nam ex ſecunda adminiſtratione perſpicua utilitas apparebit. omnibus porro poſt fri-

86) Forte, ἀναλέγως.

87) In textu: ἀναμένα. In marg. ἀνημένῃ. Sic.

88) δὲ in margine additum.

89) Forte, προσηγμένην. Mox eſt, προσαγωγή. Item circa finem hujus capitis, προσηγμένον.

90) Forte, ὅταν δέ.

τοῦ βοηθήματος ταραχὴν καὶ τὴν ἀποκατάστασιν τοῦ βρασμοῦ, θρεπτέον. ἐπὶ δὲ τῶν μηδεπῶς 91) ἐξανιεμένων περιμείναντες τὰς παντελεῖς ἀνέσεις, θρέψομεν ἐν τοῖς μέσοις χρόνοις, ἄφθονον ποτὸν διδόντες, καὶ μᾶλλον τοῖς ἐν τῇ ξηρότητι μένουσι· τὰς δὲ τροφὰς δοτέον ὑγρὰς καὶ θερμάς. εἰ δὲ χειμὼν εἴη, τὰ τῆς ἐπιμελείας ἐν θερμοτέρῳ γιγνέσθω τόπῳ, καὶ τῷ ἐλαίῳ ἀφρόνιτρον μικτέον, καὶ οἴνου τὸ δέκατον μέρος. ἐν δὲ ταῖς ἐκ δευτέρου προσαγωγαῖς, εἰ μὴ χαλαθεῖεν, ἐῤῥωμένης τῆς δυνάμεως καὶ τῶν σφυγμῶν ἐπὶ τοῦ ἰδίου μεγέθους μενόντων, ἔτι δὲ τῆς ἀναπνοῆς οὐδεμιᾶς ταραχῆς ὑπόνοιαν ἐμφαινούσης, ἀναλαμβάνοντας ἀπὸ τῶν τρίψεων, ἐγκαθίζειν δεῖ τινὰς 92) καὶ ἐξαντλεῖν, ὡς ἐντεῦθεν χαλαθησομένων τῶν σωμάτων, καὶ τοῖς κατὰ τοὺς ἱδρῶτας ὅμοιόν τι μετὰ συγκρίσει ἀπεργαζομένης, αἱ δὲ ὠφέλειαι ποικιλώτερον συναντῶσιν. ἢ γὰρ μένουσιν, ὥσπερ ἔφην, ἐπὶ τῶν αὐτῶν πρὸς τὴν διάθεσιν ὠφελημένοι, ἢ μεταπίπτουσιν οἱ τύποι εἰς ἑτερογενεῖς 93) χαρακτῆρας, ἢ διακοπὰς λαμβάνουσιν, ἢ σφοδρυνθέντες αὐτῆς ἡμέρας ἐπαύσαντο. πολλάκις δὲ ἀσφαλεῖς ἐπιφέρουσι διαμονὰς, μεθ' ἃς τὸν ἀγωνιστικὸν τῆς τρίψεως παραιτητέον τρόπον. ἐπὶ μὲν γὰρ τῶν προτέρων μενετέον, οὐ διὰ μικροῦ τὸ ἀποτέλεσμα 94)

ctionem, aquae calidae, quod fatis fit, dandum eft; sique tempora remiffionis adfint, poft turbationem, quam auxilium hoc attulit, et poft fedationem concuffionis, alendus aeger eft. at in quibus nihil quicquam remittitur, eos perfectas remiffiones expectando nutrimus, in mediis temporibus largum potum dantes, et praefertim iis, quos ficcitas male habet. alimenta vero liquida et calida danda funt. Si hyems fit, ea, quae ad curationem pertinent, in loco calidiore fiant: oleoque aphronitrum mifceatur, et vini decima pars indatur. In fecundis vero frictionibus, si non laxentur, virefque corporis validae fint, et pulfus in propria magnitudine permaneant, nec ulla turbatae refpirationis nota videatur, a frictione refectos infidere oportet, atque perfundi: ut inde laxandis corporibus, fimile quippiam iis, quae per fudores fiunt, * poft crifin perficiatur: atque utilitates magis variae extent. nam vel manent in eodem ftatu, ut ante dixi, adiuti ad morbum difcutiendum: vel typi in alterius generis formas tranfeunt: vel intermiffiones capiunt, vel fiunt vehementiores, et eodem die ceffant. faepe etiam tutas perfeverantias inferunt, poft quas laboriofus frictionum modus cavendus eft: fed in primis frictionibus manendum, cum non procul finis confpiciatur. si vero intendas manuum iniectionem, neque ferant, ulcerifque fen-

91) Forte, μηδέπω.

92) τινὰς et ἐξαντλεῖν dubia mihi videntur. Rasarius videtur voluisse, ἐπαντλεῖν. Vicina quoque funt dubia.

93) χαρακτῆρας, ἢ in margine folum legitur.

94) Forte, προσδοκῶντα, εἰ δὲ τῆς.

προσδοκῶν, τάσει δὲ τῆς τῶν χειρῶν 95) ἐπιθέσεως μὴ ἀνέχοιντο, ἑλκώδους τῆς ἁφῆς αἰσθανόμενοι, παύεσθαι δεῖ τῆς τρίψεως· εἰ δὲ τριβόμενοι πλείονος τῆς περὶ αὐτοὺς θέρμης ἀντιλαμβάνοιντο, καὶ τοῦτο ἀεὶ, καὶ μᾶλλον πάσχοιεν· παρείη δέ τι καὶ ἄλλο δυσαρεστικὸν σύμπτωμα· καὶ οὕτως ἀποστατέον τῆς τοιαύτης βοηθείας, ἄποπτον 96) αὐτοῖς θερμὸν διδόντας, καὶ τοὺς τῆς ἀνέσεως περιμένοντας χρόνους, εἰς τὴν τῶν λοιπῶν προσαγωγήν. εἰ δὲ τῆς τρίψεως, ἐπὶ χρονίων καὶ διαλειπόντων τῶν πυρετῶν παραληφθείσης, συμβαίη συνεχῆ καὶ σφοδρὸν πυρετὸν ἐπακολουθῆσαι· οὐ δεῖ ταράττεσθαι, ὡς τοῦ πράγματος ἐπὶ κακῷ γεγονότος. ταχὺ γὰρ τὸ ἐντεῦθεν ἀποκαθίσταται. χρηστέον δὲ ἀνασκευῆς χάριν πυρετῶν τρίψει, καὶ ἐφ' ὧν μαλακοὶ πυρετοὶ καὶ χλιώδεις, 97) ἤτοι ἐξ ἀρχῆς συστάντες παρέμειναι ὁμοειδεῖς, ἢ ἀπὸ σφοδρῶν καὶ χαλεπῶν πυρετῶν παρακμάσαντας 98) εἰς τοιαῦτα μεγέθη περιῆλθον. ἐπειδὰν δὲ, ἤτοι τοὺς μὴ δεομένους τρίψεως, ἐπιτηδείους κρίνωμεν, ἢ μὴ ἀσφαλῶς καταλάβωμεν 99) τοὺς καιροὺς, οὐ μὴν ἀλλὰ καὶ παρὰ τὴν ἰδιοσυγκρισίαν τοῦ νοσοῦντος· διόπερ ἀναγκαῖον τὰς ἐκ τούτων ἐπιθεωρεῖν βλάβας. ὅταν γὰρ οἱ γενόμενοι ἀπὸ τῆς τρίψεως πυρετοὶ σφοδροὶ μὲν ὦσιν, ἀκλινεῖς τε εἶεν, εἰδέναι δεῖ; μὴ ἐπ' ἀγαθῷ προσηγμένον τὸ βοήθημα. ὁμοίως, εἴπερ νωθεῖς καὶ ὑπνωδέστεροι παρ' ὅλην γίγνοιντο τὴν θερμασίαν, κοπτώδεις 100) δὲ τὸ σῶμα, καὶ τὴν ἀναπνοὴν παχυ-

ſum tactus inuehat, a frictione deſiſtendum. ſi vero fricando multum circa ſe calorem ſentiant, idque ſemper, et maiore itidem malo afficiantur, adſit vero etiam aliquod ſymptoma implacidum: tunc a tali quoque auxilio abſtinendum eſt, cum eis immenſum calorem afferamus: et, ut caetera adhiberi queant, tempora remiſſionis expectabimus. ſi vero adhibita frictione in diuturnis et intermittentibus febribus accidat, ut continua et vehemens febris ſubſequatur, moveri et turbari non debemus, quaſi res male cedat: quandoquidem inde ſtatim aeger recreabitur. Iam vero frictionem quoque tollendae febris cauſa adhibere debemus in iis, qui febres molles, et tepidas habent, quae vel ab initio tales in eadem forma perſtiterunt, vel ex vehementibus et difficilibus febribus declinantes, ad haſce magnitudines pervenerunt. quibus vero frictiones adhibendae non ſunt, diſcerni debent ex temporibus morbi, ne aliquid incommodi palam afferamus. quinetiam facta aegrotantis ſecum comparatione, id diſcernetur. quam ob rem noxae, quae inuehuntur, ſpectandae ſunt. nam cum febres, quae a frictionibus excitantur, vehementes ſint, nec declinent, ſciendum eſt, hoc auxilium non proficere. ſimili quoque modo, ſi ſegnes, et ſomnolentae per totum caloris tempus ſint, laſſumque corpus, reſpirationem denſiorem, et pulſus exigu-

95) Paullo ante malim, μακροῦ. ἐπιθέσεως ſolum in margine. Mox forte: ἑλκῶδές τι τῇ ἁφῇ αἰσθανομένους παύ.
96) Forte, ἄτοπον, *incommodum.* Forte, ἄτοπον αὐτοῖς θέρμην ἐμποιοῦντας.
97) Rasarius accepit loco χλιαρός. χλιώδης non inveni, ſed γλοιώδης et χλοιώδης.
98) Forte, παρακμάσαντες.
99) Codex: καταβλέβωμεν.
100) Rasarius videtur voluiſſe κοπῶδες. Vide pag. 107.

τέραν καὶ τοὺς σφυγμοὺς μικροὺς καὶ ἀμυδροὺς, ἔτι τε πυκνοὺς ἔχοιεν, ἐπὶ κακῷ προσηγμένην κριτέον τὴν τρῖψιν. γένοιτο δ' ἂν καὶ τρόμος ἢ σπασμὸς ἐξ ἀκαίρου 1) κατὰ πολλῆς τρίψεως. ὁμοίως κἂν ἄλγημά τι γένηται 2), ἡ φλεγμονὴ, περιοιδούσης τῆς καθ' ὅλον τὸν ὄγκον σαρκός. τούτοις δὴ τοῖς συμπτώμασιν ἀκριβῶς παρακουθοῦντας, ἐξ ἑτοίμου δεῖ πορίζεσθαι τὰς θεραπείας.

os, et obscuros, atque etiam frequentes reddant, tum frictionem male cedere iudicamus. sed et tremor, et convulsio ex frictione intempestiva et multa fiet: pariter etiam ex dolore inflammatio exorietur, carne in tota corporis mole intumescente. His symptomatis animum diligenter attendere, et copiam remediorum paratam habere oportet.

Κ Ε Φ. κα.

Ἐκ τῶν Ἀντύλλου. Περὶ περιπάτου. Ἐκ τοῦ λ. λόγου, τοῦ περὶ ποιουμένων βοηθημάτων.

Δύο εἴδη θετέον τοῦ περιπάτου, τὸ μὲν, ἐν βοηθήματος μοίρᾳ παραλαμβανόμενον· τὸ δὲ, εἰς ἀποθεραπείαν τοῦ σώματος. ὡς βοήθημα μὲν οὖν ἐγκρίνομεν περίπατον, ἐπὶ τῶν περὶ κεφαλὴν συμβαινόντων παθῶν καὶ τῶν περὶ τοὺς ὀφθαλμοὺς καὶ τὸν γαργαρεῶνα, καὶ ἐπὶ τῶν κατὰ τὸν θώρακα, πλὴν αἵματος πτύσεως. χρήσιμος δὲ ἐν τοῖς μάλιστα καὶ στομάχῳ πλαδῶντι καὶ ὀδυνομένῳ καὶ ἀποξύνοντι καὶ διαφθείροντι τὰς τροφὰς, καὶ γυναιξὶν ἐπεχομέναις κάθαρσιν, 3) ἐπιτήδειος, καὶ γαστρὸς ἰσχομένης, καὶ σιτίων μετεώρων ὄντων, καὶ οὔρου ἰσχομένου, ὀνίνησι καὶ τοὺς ἰσχιαδικοὺς, οὐ μετρίως, καὶ καθ' ὅλου, ἐφ' ὧν δεῖ, ἢ ἄνωθέν τι μεταῤῥυῆναι εἰς τὰ κάτω 4) χωρία, ἢ κάτω μὲν τὴν ῥοπὴν ἔχοντα, δεόμενα δὲ ἐκ-

De inambulatione. Ex 30. libro Antylli, de auxiliis, quae fiunt. Cap. 21.

Deambulationis duo statuenda sunt genera, quorum alterum, ut auxilium, alterum ad corporis recurationem adhibetur. deambulare igitur auxilii gratia censemus in affectionibus, quae capiti, itemque oculis, gurgulioni, et thoraci, praeterquam in sputo sanguinis, contingunt. est vero etiam maxime utilis deambulatio stomacho humescenti, dolenti, et in quo alimenta coacescunt, et corrumpuntur. efficax est etiam ad mulieres, quibus suppressae sunt purgationes: et cum alvus sistitur, et cibi supernatant, et urina retinetur non mediocriter quoque coxendicis morbis prodest: et ad summam, omnibus iis, in quibus necesse est, aut a superioribus partibus ad inferiores aliquid defluere, aut quae ad inferiores partes propensa feruntur, excernenda sunt.

1) Forte: καὶ πολλῆς.
2) γένηται, solum in margine est. Mox malim ἢ, loco ἡ.
3) Forte, καθάρσεσιν. Ita pag. 108 est: καθάρσει ἐπεχομένῃ et, γαστρὶ ἐπεχομένῃ.
4) Codex: καταχέρια.

κινήσεως. ἀποθεραπευτικῷ δὲ χρώμεθα περιπάτῳ, μετὰ στιβαρώτερα γυμνάσια, καὶ μετὰ καθάρσεις, τὰς ἀπὸ φαρμάκων, μετὰ ὑπαλείψιν τέ ὀφθαλμῶν, καὶ μετὰ ἔμετον πολὺν, καὶ ἁπλῶς, περίπατος δύναται ὁ ἀποθεραπευτικὸς ἀνεῖναι μὲν ψυχὴν καὶ μεταστεῖλαι πνεῦμα καὶ εἰς τάξιν ἀγαγεῖν, λύσαι τε τὰ συντεταμένα, καθάραι τε τὸν θώρακα, καὶ εὔπνουν παρασκευάσαι, ἐπιῤῥῶσαί τε τὰ αἰσθητήρια, καὶ ῥῶσαι τὴν γαστέρα· τὸ δὲ μέγιστον, πᾶσαν κοπώδη διάθεσιν ἐνοχλοῦσαν διαλύσαι. δεῖ δὲ τὸν μὲν ἕνεκα βοηθείας παραλαμβανόμενον πλῆθος τε εἶναι πολὺ καὶ σύντονον, μετά τε ἀπερείσεως τῶν σκελῶν καὶ τῆς ἐπὶ τῶν πτερνῶν βάσεως, ἤπερ ἐπὶ τῶν στηθῶν 5) τῶν ποδῶν γίνεσθαι μετὰ ἐντάσεως ἰγνύων. καὶ κατὰ μὲν τὰς ἀρχὰς ἠρεμαῖον· αὖθις δὲ συντονώτερον, ἔπειτα πάλιν ἀνειμένον· πλῆθος δὲ τὸ πρὸς δύναμιν ἐκλογιζέσθω. τὸν δὲ ἀποθεραπευτικὸν, ὀλίγον τε καὶ προσηνῶς ἀνέιτατον, ἠρεμαῖον τε, μετὰ διαχύσεως τῆς ψυχῆς καὶ τοῦ σώματος. οἱ μὲν οὖν ἠρεμαῖοι χρήσιμοι τοῖς ἀσθενεστέροις, ἔτι δὲ τοῖς μετὰ τροφὴν χρωμένοις τῷ περιπάτῳ, καὶ τοῖς ἄρτι ἐκ τῶν ὕπνων ἀναστᾶσι, καὶ τοῖς πρὸ γυμνασίων μειζόνων χρωμένοις, εἰς προπαρασκευὴν αὐτῶν, καὶ τοῖς δι᾽ ὀδύνην ἡντιναοῦν. οἱ δὲ εὔτονοι τοῖς ἰσχυροτέροις καὶ τοῖς κατεψυγμένοις, καὶ τοῖς δυσκίνητον καὶ νωθρὸν

Deambulatione vero apotherapeutica utimur, confectis gravioribus exercitationibus, et poſt purgationes, quas medicamenta fecerint, et poſt ſublitionem oculorum, et poſt copioſum vomitum: et abſolute, atque uno verbo, deambulatio apotherapeutica poteſt animum remittere, ſpiritum commutare, et in ordinem adducere: et quae diſtenta ſunt, ſoluere, itemque thoracem purgare, et ut facile reſpirationem edat, efficere: inſtrumentaque ſenſus roborare, et ventriculum firmare: et quod maximi refert, omnem affectionem, quae laſſitudinis ſenſum affert, quaeque perturbat, explicare, atque diſſoluere. Ac deambulatio quidem, quae auxilii cauſa ſuscipitur, et multa, et contenta eſſe debet: tum crura impariter movenda, calcibuſque incedendum: tum pectoribus pedum cum poplitum contentione ambulandum. ac initio quidem quiete, deinceps vero vehementius. et rurſus viciſſim remittendum. quantitas autem ex viribus iudicetur. Verum quae recurandi cauſa initur, pauca, et placide adminiſtrata, et quieta, cum animi corporiſque effuſione conjuncta eſſe debet. ex quo fit, ut quietae deambulationes imbecillioribus accommodatae ſint. eaedem quoque conueniunt iis, qui a cibo deambulationibus utuntur, itemque iis, qui nuper e ſomno ſunt experrecti, et qui ante maiores exercitationes, ad eas ineundas, ſe deambulando praeparant: et qui parte quavis dolent. robuſtae vero deambulationes conueniunt valentioribus, perfrigeratis, quique ſpiritum aegre trahunt, languidumque una

5) Appellatur etiam uno vocabulo προσηθὶς, v. Pollux. pag. 250. Mox malim, ἐντάσεως.

μετὰ 6) δυνάμεως ἔχουσι τὸ πνεῦμα, καὶ τοῖς ἀργότερον τὸν ὄγκον τοῦ σώματος κεκτημένοις, καὶ τοῖς ἀναλαμβάνουσι, σάρκα περιβεβλημένοις ἀναληθῆ. οἱ δὲ μετὰ συνεντάσεως τῶν σκελῶν ἢ μετὰ τοῦ τὰς πτέρνας ἀπερείδειν καταλληλότατοι κεφαλῇ πεπονθυίᾳ πισσινὴν 7) δή τινα, καὶ θώρακι ὑγροτέρῳ, καὶ ὑστέρᾳ ἀνεσπασμένῃ, καὶ καθάρσει ἐπεχομένῃ, καὶ ἀτροφίᾳ τῶν κάτω μερῶν, καὶ ὅλως, οἷς ὕλη τὴν ῥοπὴν ἄνω ποιεῖται. οἱ δὲ ἀσύντατοι, 8) τοῖς ἀτρεμαίοις ὅμοιοι τυγχάνοντες, εἰς τὰ αὐτὰ χρήσιμοι· οἱ δ' ἐπ' ἄκρων γινόμενοι τῶν δακτύλων, ἰδίως ὀφθαλμιῶσι τετήρηνται χρησιμεύοντες, καὶ γαστρὶ ἐπεχομένῃ· οἱ δὲ ἀνάντεις, θώρακι βραχύπνοοῦντι, καὶ πρὸ τροφῆς, καὶ ὅταν 9) ἀντὶ μειζόνων τινῶν γυμνασίων περίπατος 10) παραλαμβάνεται. οἱ δὲ κατάντεις, σκέλεσι μὲν κάματον ἐμποιοῦσι, τὴν δὲ ὕλην μᾶλλον τῶν ἄλλων περιπάτων καταβιβάζουσιν ἀπὸ τῆς κεφαλῆς κάτω συγκατάγοντες. οἱ δὲ ἀνώμαλοι χρήσιμοι τοῖς καταχέως 11) ἀπαυδῶσι πρὸς περίπατον· οἱ δὲ ἐν πεδίῳ κοπωδέστεροι μὲν τούτων, καταστῆσαι δὲ καὶ πνεῦμα, καὶ σῶμα τούτων ἱκανώτεροι· οἱ δ' ἐν ἀποκρότῳ,

etiam cum viribus habent. quique segniore sunt mole corporis, et qui carnem reficiunt, et conualescentibus. Quae vero cum intentione crurum, aut calcibus incumbendo fiunt, capiti male affecto sunt accommodatissimae, itemque thoraci humidiori, et utero conuulso, et purgationi suppressae, et cum partes infernae ex alimento fructum non capiunt: et omnino, quibus materia sursum repit, et fertur. Non intentae vero deambulationes placidis similes sunt, atque ad eadem valent. quae vero extremis digitis obeuntur, eas obseruatum est proprie lippientibus, et aluo suppressae utiles esse: acclives autem thoraci, qui spiritum exiguum ducat: idque ante cibum, et cum loco aliquarum maiorum exercitationum iniungitur deambulatio. declives vero, cruribus laborem afferunt illae quidem, sed tamen magis, quam aliae materiam infra trahunt, cum eam a capite ad inferiores partes deducant. Inaequales vero utiles sunt iis, qui cito deambulando fatigantur. quae in campo fiunt, magis laboriosae, quam hae sunt: et magis etiam sunt accommodatae ad spiritum, et ad corpus constituendum. quae loco aspero fiunt, caput replent. quae in arena, et praesertim profunda: (est enim hoc unum genus exercitationis vehementissimae:) efficacissimae sunt ad

6) Forte, μετ' ἀδυναμίας. Mox vocabula περιβεβ. ἀναληθῆ linea subnotata sunt in Codice et corum loco in marg. est: ἐναλήψει. De integritate horum vocabulorum non dubito. Ἀναληθὴς Stephanus in thesauro non habet: habent tamen Dionys. Halicarn. T. II. p. 15. Longinus p. 16.

7) πισσινὴν in Codice subnotatum linea. Conjicio, πᾶσιν.

8) Idem, quod ἀσύντονος.

9) Ita in marg. In textu: ὀπτᾶν.

10) Sic correxi, loco περιλαμβάνεται.

11) Ita. Sed syllaba κα notata punctis. Conjicio, κατα τάχος.

κεφαλῆς συμπληρωτικοί· οἱ δὲ ἐν ψάμμῳ, καὶ μάλιϛα βαθείᾳ, γυμνάσιον 12) μὲν ἔν τι τῶν ἐμβριθεϛάτων ἐϛί· τονῶσαι δὲ πᾶν μέρος τοῦ σώματος ἱκανώτατοι, καὶ μεταγαγεῖν ὕλην ἐκ τῶν ἄνω μερῶν δυνατώτατοι· οἱ δ' ἐν μαλακῇ γῇ ἐγγίζουσί πως τοῖς ἐν ψάμμῳ· οἱ δ' ἐν λειμῶνι, προσηνέϛατοι καὶ ἀπληκτότατοι καὶ ἀσυγκινώτατοι· συμπληρωτικοὶ δ' εἰσὶ κεφαλῆς, διά τε τὴν εὐωδίαν καὶ τὴν ἐν αὐτοῖς ὑγρότητα· οἱ δὲ ἐν ταῖς ὁδοῖς, τοῖς 13) ἐν περιπάτοις ἀκοπώτεροι· οἱ δὲ ἐξελιγμοὺς ἔχοντες, βλαβεροὶ τοῖς περὶ τὴν κεφαλήν· 14) οἱ δὲ ἐπιμήκεις, τοῖς ἐν ταῖς ὁδοῖς εἰσὶ παραπλήσιοι· οἱ δὲ ὑπερῷοι πάντων περιπάτων προκριτέοι. τῆς γὰρ ἐκ τῆς γῆς ἀναθυμιάσεως εἰσιν ἀπηλλαγμένοι, ἀέρα τε καθαρώτερον ἔχουσι· καὶ τούτων ἐπιτηδειότεροι, οἱ ἐπὶ σανίδων κατεϛρωμένων γινόμενοι· ὑπείκουσι γὰρ, τήν τε κεφαλὴν κουφίζουσι, καὶ τὴν ὕλην κατασπῶσιν. ὀλιγότης δὲ περιπάτου ὀνίνησι τοὺς κεκμηκότας, τοὺς 15) ἀπὸ γυμνασίων μὴ λουομένους, τοὺς ἐπὶ τροφῇ δεομένους περιπάτου, τοὺς βαρύτητος ἀντιλαμβανομένους περὶ τὸ σῶμα. πολὺς δὲ περίπατος ὠφελεῖ τοὺς περὶ κεφαλὴν ἢ θώρακα 16) διάθεσιν ἔχοντας, καὶ τοὺς τὰ κάτω μέρη τοῦ σώματος ἠτροφηκότας, καὶ τοὺς 17)

omnes partes corporis firmandas, et potentiffimae ad materiam e fupernis ad infernas partes deducendam. quae vero in terra molli fiunt, proxime accedunt ad eas, quae in arena fiunt. quae in pratis exercentur, blandiffimae funt, nihil omnino fenfus tentant, nihil commovent, fed tamen caput implent, cum propter odoris fuavitatem, tum propter humiditatem, quae in eis ineft. quae vero in viis fiunt, minore cum labore fiunt, quam eae, quas in locis deambulationibus dicatis obimus. quae vero habent inuolutiones, funt capiti noxiae. Oblongae vero, fimiles funt iis, quae in viis fiunt. quae vero in locis fuperioribus domus fiunt, caeteris omnibus funt anteponendae. nam et vaporum, qui e terra efferuntur, funt expertes, et aërem habent puriorem. atque ex eis accommodatiores etiam funt, quae fiunt in locis, quae tabulis fint ftrata. fiquidem obfecundant, et caput levant, et materiam deorfum trahunt. exigua deambulatio prodeft iis, qui fatigati funt, quique poft exercitationes loti non funt: et iis, quibus a cibo deambulationibus opus eft: quibus gravitas eft in corpore. multa vero deambulatio juvat eos, qui caput, aut thoracem male affectum habent, et quibus infernae corporis partes non nutriuntur: et qui in exercitationibus vehe-

12) Forte, γυμνασίων.
13) Immo, τῶν ἐν.
14) Deeft verbum, veluti, νοσοῦσι.
15) Ἀπὸ et ἐπὶ habent quidem diversam conftructionem h. l. veruntamen plane idem notant, nimirum *poft*. Recte haec accepit Rasarius.
16) Διάθεσιν, nimirum παρὰ φύσιν, *affectionem contrariam naturae*. v. Galen. method. med. II, 3. et hic p. 112.
17) Στιβαρωτέρου. Interrogo *cujus* ϛιβαρωτέρου; Rasarius ergo de fuo largitus eft κινήσεως, feu, *motu*. Sed id violentum et arbitrarium eft. Equidem conjicio: τοὺς γυμνασίου ϛιβαρωτέρου.

ἐν γυμνασίῳ, ς. βαρυτέρου δεομένους. καὶ οἱ μὲν 18) παρὰ θάλασσαν, ξηραντικοὶ καὶ λεπτυντικοὶ τῶν ὑλῶν· οἱ δὲ παρὰ ποταμοῖς ἢ λίμναις, ὑγραντικοί· κακίους δὲ, οἱ παρὰ λίμναις· οἱ δὲ ἐν μεσογήοις 19) τῶν μὲν ἄλλων τῶν προειρημένων βελτίους εἰσί· τῶν δὲ παρὰ θάλασσαν ἀπολείπονται· οἱ δὲ ἐν δρόσῳ, τοῖς μὲν παρὰ λίμναις ἀφομοίωνται· οἱ δὲ ἐν ἀπεπταμένοις, 20 a) διαφορητικώτατοι καὶ κουφιστικώτατοι περιπάτων 20b) εἰσί· παραπλησίως δὲ καὶ οἱ ἐπὶ ὑψηλῶν χωρίων· οἱ δὲ ἐν κοίλοις χωρίοις καὶ φάραγξι, δύσκρατος γὰρ ὁ ἐν αὐτοῖς ἀὴρ καὶ μοχθηρός· ὁμοίως δὲ καὶ οἱ κατάστεγοι, χείρους τῶν ὑπαιθρίων. συμπληρωτικοὶ γὰρ, καὶ μάλιστα εἰ ταπεινὰ τὰ τῆς στέγης εἴη. καὶ ὁ 21) μὲν ἐν ἐνηνέμῳ, διαφορητικοί τε καὶ διασκορπιστικοὶ τῶν περιττωμάτων, καὶ ἀνετικοὶ, καὶ ἄπληκτοι· τῶν δὲ ἐν πνεύματι, οἱ μὲν ἐν βορείῳ, βήχους γεννητικοὶ καὶ θώρακος βλαπτικοί· στόμαχον δὲ ἐκλυόμενον τονοῦσι, καὶ δύναμιν διαῤῥέουσαν συνιστᾶσιν, εὐαισθησίας δὲ ποιητικοί· οἱ δὲ νοτιώτεροι, συμπληρωτικοὶ κεφαλῆς, καὶ τῶν αἰσθητηρίων ἀμβλυντικοὶ, κοιλίαν δὲ μαλάσσουσι καὶ εἰσὶ διαλυτι-

mentiore motu egent. Iam vero, quae prope mare fiunt, ficcandi et materiam attenuandi vim habent. at quae circum flumina, et ftagna fiunt, humectandi vim habent. veruntamen, quae prope ftagna fiunt, deteriores cenfentur. quae vero in mediterraneis fiunt partibus, eae funt aliis, quae dictae funt, praeftantiores: verum fuperantur ab iis, quae prope mare obeuntur. quae in rore fiunt, fimiles funt iis, quae ad ftagna fiunt. quae in locis avium volatu frequentatis fiunt, efficaciffimae funt ad evocandum per halitum, et ad levandum: fimili quoque modo eae, quae in fublimibus fiunt locis. at quae in cavis locis, et fpeluncis: (aër enim ibi intemperatus, et vitiofus ineft;) itemque, quae fub tecto fiunt, deteriores funt iis, quae fub dio. valent enim ad replendum vel maxime, si humili tecto cafa fit munita. Quae loco ventis non perflato fiunt, valent ad evocandum per halitum, et ad excrementa difpergenda, itemque remittunt, non feriunt. at ex iis, quae vento perflante fiunt, quae fub borea, tuffes excitant, thoracem laedunt, ftomachum diffolutum roborant, vires collabentes firmant, et fenfuum integritatem afferunt: quae fub

18) Notanda diverfa conftructio τοῦ παρὰ, femel cum accufativo, ter cum dativo. Utroque modo notat *iuxta*, *ad*, de loco. Sic et paullo poft.

19) Vel, μεσογείοις, vel μεσογαίαις (χωρίοις, χώραις) voluit.

20 a) Hoc vocabulum linea fubnotatum. Quomodo a Rasario redditum fit, hic videre licet. ἀναπεπταμένα χωρία, funt *campi* et *loci patentes*. χωρίοις et hic addere malim, uti mox bis additum eft. De ἀναπεπτ. videatur Zosimus p. 150. πεδίῳ — ἀναπεπταμένῳ τε ὄντι καὶ εἰς ἱππασίαν ἐπιτηδείῳ. Ibid. p. 155. πεδίον ἀναπεπταμένον. Utuntur eo, alio tamen fenfu, Xenoph. p. 934. Philo p. 787. ubi tamen etiam *apertum* notat.

20 b) Molefta haec eft repetitio. Deberet faltem esse, τῶν περιπάτων. Ego conjicio, ὑπὲρ πάντων, nimirum, περιπάτων, aut παρὰ πάντας.

21) Loco ὁ, corrigendum οἱ. Deinde, fervato ἐν, quod linea fubnotatum eft, legendum, ἐν νηνέμῳ, fcilicet, τόπῳ, χωρίῳ, aut, ἐν ἀνηνέμῳ. Polyaen. p. 250. ἀνηνεμία.

καὶ οἱ δὲ περὶ ζέφυρον γιγνόμενοι, πάντων ἄριςοι τῶν ἐν πνεύματι· 22) τὰς μὲν γὰρ ἀηδίας τῶν βορείων οὐκ ἔχουσι, αὐτῶν 23) μεταπροσηνείας ὁμοῦ καὶ διαχύσεως· οἱ 24) δὲ ἐν ἀφηλιώτῃ, κακοὶ, πληκτικοί· οἱ δ' ἐν ἡλίῳ διαχυτικοὶ καὶ συμπληρωτικοὶ κεφαλῆς, καὶ ἀνωμαλίας ποιητικοί· οἱ δ' ὑπὸ 25) δένδροις βελτίους τῶν ὑπὸ ςέγην. ῥιπίζεται γὰρ ὁ ἀὴρ καὶ ὑγιεινότερος γίνεται· κατά 26) τε τὴν ποιότητα τῶν δένδρων ὠφέλειαν, ἢ βλάβην τοῖς σώμασί παρέχονται. καὶ οἱ μὲν ἐν αἰθρίᾳ, κουφιςικοὶ, διαφορητικοὶ, λεπτυντικοὶ, εὐπνοίας καὶ εὐκινησίας παρασκευαςικοί· οἱ δὲ ὑπονέφελοι, συμπληρωτικοὶ μὲν κεφαλῆς καὶ βάρους ἐμποιητικοί· διαφοροῦσι δὲ ἧσσον. καὶ οἱ μὲν ἑωθινοὶ κοιλίαν μαλάσσουσι καὶ τὰς νωθρότητας ἐκ τῶν ὕπνων ἀποδιαλύουσι, πνεύματα λεπτύνουσι· δειλινοὶ δὲ περίπατοι πρὸς ὕπνον παρασκευάζουσι ἢ τὰς ἐμπνευματώσεις σκορπίζουσιν.

austro, caput replent, fenfuum inftrumenta hebetant, aluum molliunt, atque ad diffoluendum valent. at quae zephiris fpirantibus fiunt, eae praeftant caeteris omnibus, quae in vento fiunt. non habent enim boreae infuavitates, cum eis manfuetudo fimul atque iucunditas fit conjuncta. quae in apeliote fiunt, malae funt, et feriunt. quae in fole, effundunt, et caput implent, et inaequalitates gignunt. quae fub arboribus fiunt, meliores funt iis, quae fub tecto. aer enim ventilatur, et redditur falubrior, eaeque conuenientes arborum qualitatibus, aut nocent corporibus, aut profunt. quae vero coelo fereno, levant, per halitum evocant, attenuant, bonam refpirationem, et movendi facilitatem parant: quae nubilo, caput implent, gravitatem important, minufque per halitum evocant. ac matutinae aluum molliunt: et fegnitiem e fomno contractam diffoluunt, fpiritufque attenuant. vefpertinae vero ad fomnum hominem praeparant, et inflationes difpergunt.

Κ Ε Φ. κβ.

Περὶ δρόμου. Ἐκ τῶν Ἀντύλλου. Ἐκ τοῦ αὐτοῦ λόγου.

De curfu. Ex eodem Antylli libro. Cap. 22.

Ὁ δρόμος, σύντονος ὢν περίπατος, ἐν τοῖς συντόνοις κατατάσσεται γυμνασίοις· ἐπιτή-

Quoniam curfus eft deambulatio vehemens et concitata, ideo inter vehe-

22) τῶν ἐν πνεύματι, nimirum, γινομένων περιπάτων. Mox correxi, γὰρ ἀηδίας, loco, παραηδείας. Malim quoque, πρὸς ζέφυρον.

23) μετὰ προσηνείας fcribendum esse, facile quivis animadvertit. Quid autem fibi velit αὐτῶν, id expifcari nequeo. Forte tale aliquid in eo latet, quod notet ἀπαντῶσι, aut ἄουσι δὲ, nimirum οἱ-ζέφυροι.

24) Codex uno vocabulo: ἐναφηλιώτῃ. Dicitur ἀπηλιώτης et ἀφηλιώτης. Apud Arrianum de expedit. Alex. M. p. 202. 203. utroque modo editum.

25) ὑπὸ cum notat *fub*, dativum et accusativum habet. ςέγην eft ex correctione. antea, credo, fuerat ςέγειν. Forte, loco ςέγει.

26) Hoc τε poft fe requirit καί. καὶ ante δένδρων deletum. Forte: κατὰ δὲ τὴν — δένδρων, ἢ ὠφέλειαν — παρέχεται. Mox vers. 17. malim, πνεῦμα δὲ λεπτ.

δεῖος δὲ κατὰ τὴν χειμερινὴν ὥραν· ὁμοίως δὲ καὶ θέρους μέσου. 27) χρήσιμος δὲ εἰς τὸ θερμᾶναι τὸ σῶμα, ὄρεξιν ἀνακαλέσασθαι καὶ ἐπιῤῥῶσαι τὰς τῆς φύσεως ἐνεργείας, στόμαχον τονῶσαι, καὶ ῥεῦμα στῆσαι. εἰ γὰρ καὶ τὴν πρώτην δοκεῖ παροξύνειν τὰ ῥεύματα, ἀλλ᾽ ἐξ ὑστέρου στέλλει τοὺς ῥευματισμούς· πληροῖ δὲ κεφαλήν. ἐπὶ δὲ νεφριτικῶν καὶ γονοῤῥοικῶν, ὡς τετηρημένον βοήθημα, δρόμον παρειλήφαμεν. ὀνίνησιν ἰσχιαδικούς, ἐπὶ μὲν τὴν ἀρχὴν τοῦ δρόμου μόγις παραγινομένους· ἐν αὐτῷ δὲ τῷ τρέχειν, ὥσπερ ἐπιλανθανομένους τῆς διαθέσεως. ἐπὶ δὲ στροφουμένων, καὶ μύκητας βεβρωκότων, καὶ σκορπιοπλήκτων αὐτοὶ παρεφυλάξαμεν ὠφελοῦντα 28) δρόμον. τὰς μὲν οὖν διαφορὰς, τάς τε παρὰ ποιότητα, καὶ ποσότητα, καὶ τὰς παραπλησίους, ληψόμεθα ἐκ τῶν πρόσθεν εἰρημένων ἐπὶ τῶν περιπάτων. περὶ δὲ τῶν οὐκ εἰρημένων· εἰσὶ δὲ βραχεῖαι 29) νῦν ῥητέον. ἔστι μὲν οὖν ὁ μέν τις εἰς τοὔμπροσθεν ἐπ᾽ εὐθείας, ὃς αὐτὸ τοῦτο εἴληφεν ὄνομα· ὁ δὲ εἰς τοὐπίσω, ὅντινα καὶ ἀνατροχισμὸν καλοῦσιν· ὁ δὲ ἐν κύκλῳ, καὶ τοῦτον περιτροχισμὸν καλοῦσιν. ὁ μὲν οὖν εἰς τοὔμπροσθεν, τὰ ἤδη προειρημένα δύναται· ὁ δὲ εἰς τοὐπίσω, ὁ ἀνατροχισμὸς, κεφαλῇ, καὶ ὄμμασι, καὶ τένουσι, καὶ στομάχῳ, καὶ ὀσφύϊ 30) χρήσιμος, οὐ ταχὺς γινόμενος. διὸ οὐδὲ

mentes exercitationes numeratur. est vero accommodatus hyberno tempore, itemque aestate media. Valet autem ad corpora calfacienda, appetitum revocandum, et ad naturales actiones corroborandas, et stomachum firmandum, et defluxiones evocandas. etsi enim primum defluxiones videtur excitare, eas tamen postea cohibet et comprimit. verum caput implet. In renum autem morbis, et feminis profluvio, ut affervatum quoddam auxilium, nos cursum adhibuimus. prodest ischiadicis, in quibus in cursus initio vix moveri possunt, sed ubi in cursu sunt, ita properant, ut morbi propemodum obliti videantur. In iis vero, quorum viscera torquentur, et qui fungos esitarunt, et qui a scorpionibus icti sunt, nos cursum profuisse observavimus ergo differentias, quae ex qualitate, et quantitate sumuntur, et caeteras etiam generis ejusdem, ex iis intelligemus, quae supra de ipsis deambulationibus dicta sunt nobis. at, quae non diximus, quae quidem sunt perpauca, ea nunc persequemur. est ergo cursus quidam, qui recta ad anteriora fit, qui inde etiam nomen duxit: alius in posteriora, quem recursum vocant: alius in orbem, quem circumcursum nominant. ex quibus is, qui ad anteriora fit, ea praestat, quae iam diximus at recursus in posteriora, is non celeriter initus, et capiti, et oculis, et tendinibus, et stomacho, et lumbis

27) Codex: μέσα. Et paullo post: ὄρεξις. Vers. 7. malim: πληροῖ δὲ καὶ κεφαλήν.

28) Interposuerim, τόν.

29) Nimirum, διαφοραί. Mox malim εἴληφε τὸ ὄνομα. Nimirum εὐθύδρομος.

30) Ita ex correctione. Antea, credo, ὀσφύσι. Loco ὄμμασι, margo habet ὤμοις.

συμπληροῖ τὴν κεφαλὴν, ἥ τε ἀναβάδισις ἀναγκάζουσα στερεώτερον βαίνειν, καὶ ἐπὶ ἄκρων τῶν ποδῶν, ὑπὲρ τοῦ μὴ καταπεσεῖν, καθέλκει τὴν ὕλην κάτω. περιτροχασμὸς δὲ, θώρακι μὲν καὶ σκέλεσι κατάλληλός ἐστι· τοῖς 31) δὲ περὶ κεφαλὴν ἀνάρμοστος. οἱ μὲν οὖν μετὰ τοῦ σκέπεσθαι τὸ σῶμα δρόμοι, θερμαίνουσι τὴν σάρκα, καὶ ἱδρῶτας κινοῦσιν· οἱ δὲ χωρὶς τοῦ σκέπεσθαι, ἱδρώτων μὲν οὐ πολλῶν εἰσὶ γεννητικοί· κατὰ δὲ τὸ ἄδηλον, ἰσχυρῶς διαφοροῦσι, καὶ σκληρύνουσι δὲ καὶ ἀναξηραίνουσι τὰ σώματα.

Κ Ε Φ. κγ.

Περὶ 32) αἰωρίας. Τοῦ αὐτοῦ. Ἐκ τοῦ αὐτοῦ λόγου.

Τὰ μὲν ἄλλα γυμνασία ἐν τῇ τοῦ σώματος κινήσει κεῖται· ἡ δὲ αἰώρα συμμιγής ἐστιν, ἔκ τε κινήσεως καὶ σχέσεως, τῶν μερῶν τοῦ σώματος ἀνατρεμούντων, 33) παντὸς 34) δὲ ὑπὸ τῆς φορᾶς κινουμένου· ἐντεῦθεν ὠφελιμώτατόν τε γυμνάσιον καὶ προσηνέστατον, 35) κινοῦσά τε αὐτὰ οὐδὲν ἧσσον τῶν μεγάλων γυμνασίων. δύναται δ' αἰώρα 36) πᾶσα ἐπεγείρειν τὸ ἔμφυτον θερμὸν σκορπίζειν τε πλῆθος ὕλης, τονοῦν τε τὴν ἕξιν καὶ ἐπεγείρειν τὰ νεναρκωμένα τῶν ἐνεργημάτων, πρὸς δὲ καὶ νωθρότητος 37) διαλυτική, καὶ ταράχου τοῦ περὶ σῶμα καταστάλτική, ὕπνου τε τοῖς ἠγρυπ-

accommodatus est, atque utilis. idcirco non replet caput. porro incessus, qui pedibus in altum sublatis fit, qui cogit, ut firmius summis pedibus incumbendo homines vadant, ne concidant, materiam infra trahit. Cursus vero in orbem, thoraci, et cruribus accommodatus est: at capiti est alienus. Ergo cursus, qui tecto corpore ineuntur, ii carnem calfaciunt, et sudores movent: qui non tecto corpore, non magnam illi quidem sudorum copiam eliciunt, veruntamen clam vehementer per halitum evocant: atque etiam corpora durant, et exsiccant.

De gestatione. Eiusdem, ex eodem libro. Cap. 23.

Aliae exercitationes in motu corporis consistunt: gestatio vero media est inter motum, et situm partium corporis quiescentium. Cumque totum corpus ferendo moveatur, inde existit utilissima exercitatio, quae ipsas itidem partes non minus, quam magnae exercitationes, moveat. Omnis autem gestatio potest naturalem calorem augere, et materiae multitudinem discutere, et habitum corporis firmare, et actiones stupidas excitare, et segnitiem praeterea dissoluere: et corporis turbationem sedare, et iis, quos vigiliae exercent, somnum conciliare: et contra etiam ve-

31) τὰ περὶ κεφαλὴν, *quae caput attinent.* Nisi exciderit πόθεον, vel aliud eiusmodi. Vide p. 106. vers. 10.
32) Supra in principio Codicis, in indicibus, rectius legitur, αἰώρα, ficuti hic quoque paullo post.
33) ἀτρεμούντων volu.t.
34.) Nimirum, σώματος Malim vero, τοῦ παντός.
35) Si quidem haec sana sunt, κινοῦσα refertur ad αἰώρα, αὐτά, ad τὰ μέρη τοῦ σώματος.
36) Codex: αιωρέα.
37) Codex: νωθροτητας, et mox, ἠγρυπνικέσι.

νηπόσι παρασκευαστική, καὶ ἐκ τῶν ἐναντίων, 38) ἐπιστροφῆς τε καὶ ἐγρηγόρσεως τοῖς νωθροῖς καὶ διαλελυμένοις. τὸν μὲν γὰρ ὕπνον ἐπάγει, τῷ διαφορεῖν τά τε ἀπὸ τῆς κεφαλῆς καὶ τοῦ στομάχου περισσώματα· τούτων μάλιστα τῶν μερῶν ἀγρυπνίας ὄντων ποιητικῶν· τὴν δὲ ἐγρήγορσιν ἐργάζεται, ἐυστρέφουσα 39) καὶ ἐπιρωννύουσα τὸν τόνον. διαφοραὶ δὲ αἰώρας, ἄνευ 40) τῶν κοινωνίας εἰρήκαμεν ἐν τῷ περὶ τοῦ περιπάτου λόγῳ, ἴδιαι αἵδε. ἥ τε ἐπὶ κλίνης, ἢ ὑπόβαθρα ἐχούσης κατὰ τοὺς διαγωνίους πόδας, ἢ ἐν φορείῳ. διπλὴ δὲ καὶ ἥδε, ἤτοι καθεζομένων τῶν αἰωρουμένων, ἢ κατακειμένων· ἢ ἐπὶ ζεύγους, ἢ ἐπὶ νηάς. καὶ τῆς ἐπὶ νηὼς δὲ, ἡ μὲν τῆς οὐριοδρομούσης, ἡ δὲ ἐρεσσομένης. θετέον δὲ ἐν αἰώρας μέρει καὶ ἱππασίαν, εἰ καί τινες 41) περὶ αὐτὴν ἰδία λέγονται. τῇ μὲν οὖν ἐπὶ κλίνης αἰώρᾳ χρηστέον, ἐπί τε πυρεσσόντων, ἢ τῶν ἀῤῥωστίαν χρονίαν ἀῤῥωστούντων, ἐπί τε ἐλλεβοριζομένων, ἔν τε ἀναλήψει χρήσιμος ἐπὶ τῶν ἀτονούντων. ἔτι καὶ τοῖς ἀγρυπνοῦσι, τοῖς ὀκνηρῶς διακειμένοις, τοῖς ἐπιτεταμένοις κυνωδῶς τὰς ὀρέξεις, παύουσα τὴν ἐπίτασιν, τοῖς βραδέως διοικοῦσι τὰς τροφὰς, τοῖς πρὸς τἄλλα γυμνάσια δυνατῶς 42) ἔχουσι. κατὰ τὸ ἀνάλογον δὲ καὶ τοῖς χρονίως ἀῤῥωστοῦσιν ὠφέλιμος. ἀλλὰ τὸ μὲν ἕτερον εἶδος, τὸ διὰ τοῦ κρεμαστοῦ κλινιδίου, καὶ πρὸ τροφῆς, καὶ ἐπὶ τροφῇ χρήσιμον· τὸ δὲ ἕτερον, ἄχρηστον μὲν, ἐπὶ τροφῇ. ὁ δὲ τρόπος τῆς χρήσεως αὐτῶν, ἐν τῷ περὶ ἐλλεβόρου δεδήλω-

temosis et dissolutis reditum ad se, et vigilias parare. ac somnnm quidem conciliat, excrementa, quae a capite et stomacho delabuntur, per halitum digerendo: cum hae partes sint vigiliarum causae praecipuae. at vigilias postea inducit, corporis tenorem ad se revocando, et corroborando. Gestationis autem differentias communes, in oratione, quae de ambulationibus habita est, expofuimus. propriae vero sunt hae. una in lectica fit, quae fulcra habeat lineis ab angulo ad angulum per pedes distincta: vel fit in sella, haecque duplex est, vel sedentibus iis, qui gestantur, vel iacentibus. vel in vehiculo: vel in navi. ac in navi quidem, quae aut ventis, aut remigibus impellatur. Gestationi quoque subiiciatur equitatio: quamvis nonnulli de ea privatim loquantur. Ergo gestatione, quae in lectica fit, utimur in febricitantibus, aut qui diuturna imbecillitate laborant, quique elleborum sumserunt. atque etiam, dum vires reficiuntur, cum imbecilli adhuc homines sunt, prodest: itemque vigilantibus, quique segnitie et pigritia quadam sunt oppressi, et iis, quibus caninum in modum appetitus est intentus, quippe quae intentionem illam sedet. et iis, qui tarde alimentum conficiunt: et iis, qui alias obire exercitationes non possunt. eadem quoque proportione iis, qui diuturno morbo impliciti sunt, utilis est. sed aliud genus, quod lectulo

---

38) ἐπιστροφὴ est, *attentio*, *animadversio*, quae opponitur negligentiae et lentitudini animi.

39) Forte, ἐπιστρέφουσα.

40) Legendum arbitror: ἄνευ τῶν κοινῶν, ἃς εἰρήκαμεν. Ante scriptum erat, κονωνίας, deinde iota insertum. Temere ergo invicem junxit κοινῶν et ἃς

41) Malo: περὶ αὐτῆς ἰδίᾳ λέγουσιν, aut, διαλέγονται. Sic bis scribenda erat syllaba δια.

42) Recte in marg. ἀδυνάτως. Mox correxi τὸ, loco τοῦ ἀνάλογον.

ται. ἐν φορείῳ δὲ κατακειμένους αἰωροῦμεν τοὺς ῥέγκοντας· τούτων δὲ ληθαργικούς τε μᾶλλον, καὶ 43) κατεχομένους, τούς τε ἁπλῷ καὶ ἐμμόνῳ καὶ χρονίῳ πυρετῷ κατεχομένους. δεῖ δὲ, εἰ τὰ τῆς δυνάμεως ὑπείη, ἐπὶ πλεῖον κεχρῆσθαι τῇ αἰώρᾳ. ἡ γὰρ ἐπ' ἔλαττον ἀνακινοῦσα τὰ σώματα, ἐνίοτε παροξύνει τοὺς πυρετούς. ἐπὶ μὲν οὖν 44) πυρεσσόντων, τοὺς εἰς ἄνεσιν εἰλικρινῆ παραγινομένους, ἢ μακράν γε τὴν ἄνεσιν ἔχοντας, ἢ ἐν πυρετοῖς μακροῖς, κἂν μὴ μεγάλα ᾖ τὰ διαλείμματα· 45) τῶν δὲ ἀπυρέτων 46) καθεδρείῳ σχήματι αἰωρητέον. ἀσκέπαστον 47) μᾶλλον, ἤπερ ἐσκεπασμένον ἔξω τὸ φορεῖον. τοὺς δὲ καιροὺς τῆς αἰώρας ἢ τοὺς τόπους, ἐν οἷς αἰωρητέον, καὶ τρόπους, καθ' οὓς παραληπτέον, εὑρήσομεν ἐκ τῶν εἰρημένων ἐν τοῖς περὶ 48) περιπάτου λόγοις. ἡ δὲ ἐπὶ ζεύγους αἰώρα, μοχλευτικὸν ἔχει τὶ καὶ κινητικὸν τῶν ἐμμόνων νοσημάτων· τῆς δὲ ἐπὶ νηὸς αἰώρας ἡ μὲν διαίρεσις ὡς τὰ πολλὰ βραχεῖα τε καὶ παρὰ τὴν γῆν 49) γίνεται, καὶ ἐν ἀκύμονι τῇ θαλάσσῃ. κλόνον οὖν οὐ πολὺν ἔχει, οὐδ' αἰκισμόν. ὥστε σχεδόν τι τούτοις ἁρμόδιός ἐστιν, οἷς καὶ 50) διὰ τοῦ ὀχήματος. πλήν γε δὴ τοῦτο ἔχει περιττότερον, ὅτι ἐν καθαρᾷ τε

pensili fit, et ante, et, post cibum prodest: alterum vero, post cibum est inutile. quomodo autem uti hac gestatione debeamus, explicatur a nobis, ubi de elleboro propinando loquimur. In sella autem stratos gestamus eos, qui febrim habent, atque ex iis, lethargicos potius, et quos cataphora urget. qui vero simplici, et permanenti, et diuturna febri iactantur, si vires ferant, debent gestari quamplurimum: quandoquidem gestatio minus mouens corpora, quandoque febrim excitat. ergo in febricitantibus, qui ad integritatem perveniunt, vel quorum longa admodum remissio est, vel qui febribus tenentur longis, etiamsi non magna interualla habeant, convenit haec gestatio. Qui febrim non habent, in cathedra non tecta potius, quam tecta, gestandi sunt. tempora autem, et loca, in quibus gestatione utendum sit, et quibus modis fieri debeat, deambulationis tractatio nobis exposuit. quae autem in vehiculo fit, habet vim quandam amoliendi, commovendique morbos stabiles, et permanentes. quae vero in navibus fit, parum plerumque distinguitur ab ea, quae in terra administratur. ac, quae tranquillo mari obitur, non admodum magnam turbationem, neque concussionem affert. ex quo fit,

43) Vide Galen. de caussis pulsuum IV, 16. Paul. Aegin. III, 10.

44) Interposuerim, τῶν.

45) Hic in margine legitur: *hic deest quippiam.* Rasarius de suo id supplevit.

46) Aut hic quoque aliquid deest, veluti τοὺς κ. τ. λ. aut scribendum, τοὺς ἀπυρέτους.

47) δὲ addendum videtur.

48) περὶ ipse addidi. Bis scribendum erat περί. Simili modo paullo ante peccavit scriba.

49) γῆν in marg. Cod. Loco διαίρεσις conjicio δίαρσις, i. e. ἔπαρσις.

50) ἡ, nimirum αἰώρα, interponendum videtur.

ἀέρι γίνεται, καὶ ἀναθυμιάσεις ὑγρὰς οὐκ ἔχοντι, ἀλλὰ ξηράς τε καὶ δριμείας, διὸ προκριτέα. ἡ δὲ διαπόντιος αἰώρα πνεύματι φερομένης νηὼς ποικιλωτάτη τὲ, καὶ ἐκ τῶν ἐναντιωτάτων συνεστῶσα. κίνησίν τε γὰρ ὀξυτάτην καὶ σφοδροτάτην καὶ ἀδιάπαυστον κατὰ τὴν τῆς νηὼς φορὰν ἔχει, συμμιγής 51) τε ἐστὶν, ἔκ τε ῥαθυμίας καὶ φόβου. μεταβολὰς γὰρ ῥάστας καὶ ταχίστας ἔχει. αἱ δὲ τοιαῦται μεταβολαὶ, πᾶσαν χρονίαν διάθεσιν νόσων ἀποσκευάζουσιν. 52) ὁ δὲ γινόμενος σάλος ἐν τῷ πλῷ δύναμιν ἔχει παραπλησίαν ἐλλεβόρῳ κούφῳ λευκῷ.

ut ferme accommodata fit iis, quibus etiam geftatio per currum conuenit: nifi quod hoc magis habet, quod in purgato aëre, et in quo non humidi vapores, fed ficci, et acres fint, efficitur: et ob eam ipfam caufam eft praeftantior. Quae vero per pontum fit, ventis navim ferentibus, ea maxime varia eft, et ex maxime contrariis conftat. habet enim motum acutiffimum, vehementiffimum, et neutiquam ceffantem, dum navis a vento impellitur: eftque mixtus ex fecuritate et timore: habetque facillimas, et celerrimas mutationes. ac tales quidem mutationes, omnem diuturnam morborum affectionem removent. Commotio denique, quae in navigatione excitatur, vim habet elleboro levi et albo perfimilem.

ΚΕΦ. κδ.

Περὶ ἱππασίας. (Ἐκ) τοῦ αὐτοῦ λόγου.

Τῆς δὲ ἱππασίας, ὀλίγη χρῆσις ἐστιν ἐπὶ νοσούντων. εἰ μὲν γὰρ ἠρέμα ὁ ἵππος ἐλαύνοιτο, οὐδὲν ἂν πλέον παρέχοι, πλὴν κόπου, καὶ μάλιστα βουβώνων· εἰ δὲ σφοδρῶς ἐλαύνοιτο, κλονεῖ μὲν πᾶν τὸ σῶμα ἐπιπόνως, ὅμως δὲ ἔχει τὶ χρήσιμον. τονοῖ γὰρ ὑπὲρ πάντα τἄλλα γυμνάσια τὸ σῶμα, καὶ μάλιστα τὸν στόμαχον, καθαίρει τὲ τὰ αἰσθητήρια, καὶ ὀξύτερα ἐργάζεται· θώρακι δὲ κάκιστον γυμνάσιον.

De equitatione. Ex eodem. Cap. 24.

Equitationibus exiguus in aegrotantibus eft ufus. nam fi placide equus gradiatur, nihil magis, quam laffitudinem, et praefertim inguinibus afferet: fi vehementer impellatur, quamuis totum corpus laboriofe concutiat, tamen aliquid utilitatis affert: fiquidem magis, quam omnes aliae exercitationes, corpus, et praefertim ftomachum firmat: et fenfuum inftrumenta purgat, eaque reddit acutiora. fed thoraci exercitatio haec eft infenfiffima.

51) Ita fcripsi. Refero autem ad αἰώρα. In Cod. eft, συμμιγή.

52) Ita correxi. In Cod. ἀπασκευάζουσιν. Nisi voluerit, ἀνασκευάζουσιν.

ΚΕΦ. κε.

Περὶ τῆς ἐν πυρετοῖς ἁρμοζούσης αἰώρας. 53) Ἐκ τῶν Ἡροδότου. Ἐκ τοῦ περὶ ποιουμένων βοηθημάτων λόγου.

93a) κλινίδιον habet Diog. Laërt. p. 141. Chryfoft. T. II. p. 725. E. Κρεμαστὸς eft apud Xenoph. Oecon. VIII, 12. et in Galei opufcc. myth. p. 86.
93b) De hoc dubito. Forte, συῤῥυήσεται.
94) Mox eodem fenfu eft, ἐκ διαλειμμάτων.
95) v. Doruil. ad Charit. p. 208. Gregor. Naz. p. 198. Eruditissimum Coraei ad Heliodor. p. 208. 212. 214. Tom. II. edit. Paris. 1804. 4. In Codice h. l. fcriptum erat, χλύζουσι, fed χ deletum. Mox bis eft λυγμός. v. Erotian. p. 34. et Gregor. Nyss. T. II. p. 204
96) Forte, διὰ μέσου, aut junctim, διαμέσου.
97) Rasarius a δὰς hoc videtur derivasse. ὑδαταίνειν occurrit apud Erotian. p. 49. et Galen. in Gloss. p. 99. Vocabulum ὑδαδαίον nullum eft. Forte, ὑποιδαῖνον.
98) Utuntur hoc Galen. in Glossis p. 91 Philo p. 203. Polyb. T. III. p. 114. et alii.
99) Rasarius videtur voluisse φλέβια. Non inepte! Eo utuntur Dionys. Halicarn. T. II. p. 30. 194. Plato p. 490. Galen. in Glossis p. 76.

γμὸς ἀραιότατος ἔσται. προϊούσης δὲ τῆς καθάρσεως εὐκόλως τό, τε πρόσωπον εὐχροῖτει 100) καὶ ὁ σφυγμὸς πυκνωθήσεται καὶ μείζων ἔσται, καὶ ὁ λυγμὸς ἀποπαύεται, 1) ἔκ τε μειζόνων διαστημάτων καὶ κατ' ὀλίγον ἐμοῦσι. τούτοις δὲ μετὰ μέσην μὲν κάθαρσιν, ἡνίκα ἐμπίπτοιεν οἱ λυγμοὶ, μελίκρατον ἐναφεψημένου πηγάνου καταῤῥοφεῖν δώσομεν, καὶ ἐπὶ τέλει χλιαρὸν ὕδωρ προσενέγκαντες τὸ 2) ποτὸν, καὶ βραχὺ διαστήσαντες, αὐτό τε τοῦτο ἐξεμεῖν, καὶ εἴ τι παρακείμενον εἴη, κελεύσομεν, λιπάναντες ἰσχυρῶς πᾶν τὸ σῶμα· καὶ διαστήσαντες ὥρας δύο, λούσομεν, καὶ τροφὴν εὐστόμαχον προσοίσομεν. εἰ δὲ καὶ 3) στραγωτέρα πως, καὶ μετὰ περισκελίας ἡ κάθαρσις ἀπαντοίη, ἢ ἄλλως ἀφυεστέρα, δι' ὑπονοίας μὲν ταῦτα ἕξομεν, δυσχερῆ 4) ταχυτῆτα ἔμετον, καθ' ἣν λαβόντες τὸ φάρμακον, εὐθὺς ἐξεμέσουσι καὶ οὐδεμιᾶς ἀπόλαυσιν ὠφελείας βραδυτῆτα καθάρσεως, ἐν ᾗ καὶ πνιγμῶν εἰσὶ κίνδυνοι, 5) λύγγας, συνολκὰς, παραφροσύνας, λειποθυμίας, ὑπερκαθάρσεις, καταπτώσεις δυνάμεως, ἱδρῶτας ἀμέτρους, ἐκλύσεις. ὄντος δὲ ἀδήλου 6) τινὸς τῶν δύο χειρῶν τούτων ἐξακολουθεῖν μέλλον, πρὸς πᾶσαν παρασκευάζεσθαι χρὴ τὴν παρασκευήν. ἔστι δὲ τάδε.

ro purgatio processerit, probum colorem vultus acquiret, pulsus densus maiorque reddetur, ac singultus cessabit: et, longiore spatio interiecto, et paulatim voment. His autem in media purgatione, cum singultu vexantur, melicratum, in quo ruta sit incocta, sorbendum damus. ad finem vero tepidam aquam dantes paululum intermittimus: tum, ut aquam ipsam, et si quid eidem adiaceat, evomant, imperabimus. totum vero corpus aliquo pingui valde ungemus, et, interiecto duarum horarum intervallo, lavabimus, et cibum stomacho idoneum offeremus. si vero inordinatior, et irritatior succedat purgatio, aut alioqui incommodior, haec incommoda expectabimus: ut, simul atque sumtum medicamentum fuerit, statim evomant: nullamque utilitatem tardae purgationis capiant. qua in re, et strangulationis, et singultus, et contractionis, et delirii, et animi defectionis, et nimiae purgationis, et casus virium, et immoderatorum sudorum, et exolutionis periculum imminet. cumque minime planum sit, quodnam horum malorum sit futurum, ad omnia praeparatos esse oportet. quae vero paranda sunt, nunc persequar.

Τίνα χρὴ παρασκευάζειν τοῖς ἐλλεβοριζομένοις.

Κλινίδιον μετέωρον, καὶ ἄλλο, ὑπόβλητα ἔχον διαγώνια, καὶ τρίτον, κρεμαστὸν, διαδεομο-

Quae praeparanda sint iis, qui elleboro purgandi sunt.

Praeparare debemus lectulum sublimem, itemque alium, qui strata ha-

100) Ita Codex. Forte, εὐχροήσει, quo utitur Gregor. Nyss. T. I. p. 489.
1) Forte, ἀποπαύσεται.
2) τὸ ποτὸν mihi dubium videtur. Rasarius omisit.
3) Ita Codex. Suidas habet: στραγὸς, στραγότερος. Alii legunt, στραγγὸς, στραγγότερος. Mox Codex iunctim exhibet, μεταπερισκελίας. περισκελὴς satis notum. Inde περισκελία. Dicitur etiam κατασκελής.
4) Haec corrupta sunt. Sententia tamen utcunque apparet.
5) Continuo ergo transit a genitivo ad accusativos.
6) Etiam haec corrupta.

σπόγγοι, 7) ὀξύκρατον, μελίκρατον, διάφορα, ἂν τὸ μὲν ὕσσωπον ἐναφεψημένον ἐχέτω, τὸ δὲ ὀρίγανον, τὸ δὲ πήγανον, τὸ δὲ θύμον, ἔλαιον κύπρινον, μήλινον, ἴρινον, 8) ῥόδινον, ἐμπλάσματα, ἀποβρέγματα ἐλλεβόρου, σικύας, σφηνίσκοι, πτερὰ, δακτυλήθραι, κλυστῆρες, πυρίαι, ἀψίνθιον, οἶνος, τροφαὶ, βαλάνιον. εἰ μὲν οὖν πρὸ τοῦ δέοντος 9) ἐρεθίζειν τὸ ἐμεῖν, καὶ δέος, μὴ τὸ φάρμακον ἐκβάλωσι, πρὶν ὠφεληθῆναί τι ἀπ᾽ αὐτοῦ, τάδε εἰς κατοχὴν ποιήσομεν.

Τίνα χρὴ πράττειν εἰς κατοχὴν ἐπὶ καθαιρομένων.

Ψυχρὸν ὕδωρ δώσομεν διάκλυσμα συνεχὲς, καὶ, εἰ μὴ παρηγοροῖ, ὀξύκρατον, καὶ τὰ ἄκρα ἱκανῶς διασφίγξομεν καὶ τρίψομεν, καὶ ἅλμην, ὅσον 10) μύστριον, μικρὸν ἐν διαλειμμάτων ἐνστάξομεν τῷ στόματι, ἢ κάππαριν 11) ἐξ ἅλμης κατέχειν προστάξομεν, καὶ σιωπᾷν, καὶ ἀκινητεῖν, 12) ἤτοι καθημένους σφόδρα ἀνωῤῥόπους 13) κατακειμένους. εἰ δὲ μὴ παρηγοροῖντο ὑπὸ τούτου, σικύας μετὰ πολλοῦ πυρὸς τῷ μεταφρένῳ καὶ τῷ στόματι τῆς κοιλίας

beat, ceu lineas, ab angulo ad angulum perducta: et tertium quoque pensilem: spongias quoque, et poscam, et melicratum, diversis modis confecta: quorum unum hyssopum incoctum habeat, aliud origanum, aliud rutam, aliud denique thymum: oleum cyprinum, melinum, irinum, rosaceumque: emplastra, ellebori dilutum, cucurbitulas, cuneolos, pennam, digitalia, clysteres, fomenta, absinthium, vinum, cibos, glandulam. Si igitur, antequam tempus opportunum sit, vomitus irritari velit, metusque sit, ne medicamentum reiiciant prius, quam ullum ab eo fructum ferant: ut ipsum contineant, haec faciemus.

Quae facienda sint, ut, qui medicamentum sumserunt, vomitum cohibeant.

Aquam frigidam dabimus ad os perpetuo colluendum. si non sedetur turbatio, poscam: et extrema valde constringemus et fricabimus, et muriam, quantum parui mystri magnitudinem compleat, per interualla in os indemus: aut, ut capparim ex muria in ore contineant, sileantque, nulloque motu cieantur, vel, ut sedentes valde sursum versi collocentur, imperabimus. si ne ita quidem leventur, cucurbitulas ex mul-

7) Sic, uno vocabulo. Forte, διαδευόμενοι σπόγγοι, a δεύω. Mox in Codice est, διαφορά.
8) Ita Galen. in Glossis p. 64. Codex: εἴρινον. Vide mox notam 24. περὶ μηλίνου v. Dioscor. 1, 55. p. 31. περὶ ἰρίνου ibid. 1, 66. p. 37. περὶ κυπρίνου ibid. 1, 65. p. 36.
9) Forte, ἐρεθιστέον.
10) Supra lectum est, μύστρον. Inde deminutivum μύστριον. ἐν poterat abesse. Eo tamen servato, continuo addendum ἐκ. Ἐκ enim abesse nequit.
11) Dioscor. 2, 204. p. 162. Polyaenus p. 358. meminit etiam καππάρεως ἐσκευασμένης ἐν ἅλμῃ.
12) Cod. ἀκινήτειν. ἀκινητεῖν, *quietem agere, se non movere*, probum est vocabulum, tametsi nec in thesauro Stephani reperiatur. Utitur eo etiam Orig. T. I. p. 176. Notum etiam ἀκινησία. Sext. Empir. p. 15.
13) Codex, more antiquo, quod non reprehendo, ἀνωρόπους, nisi quis malit ἀνωῤῥόπως. Mutavit autem constructionem, loco κατακεῖσθαι. παρηγορεῖσθαι saepe ita in his libellis occurrit, non fine elegantia.

προσάξομεν, ζέοντος δὲ ὕδατος βραχὺ ἐκ διαλειμμάτων καταῤῥοφεῖν δώσομεν· κἂν 14) σφόδρα ἐρεθίζοιντο, καὶ ἀψινθίου, ἤτοι χυλίσματος 15) ἢ ἀφεψήματος ὀλίγον προσοίσομεν. οὐδεὶς δὲ ἐςιν οὕτως εὐήμης, οὐδὲ ἀνατετραμμένος τὸν ςόμαχον, ὥςε μὴ ὑπὸ δύο ἢ τριῶν τῶν προειρημένων παρηγορηθῆναι. εἰ δὲ ἀντιςρόφως, ὑπὸ ἰσχύος τῆς περὶ τὸν ςόμαχον, ἢ ἄλλης τινὸς αἰτίας, 16) μὴ ἐν τῷ καθήκοντι καιρῷ τῆς καθάρσεως ἄρχοιντο, ἐπὶ μετεώρου κλινιδίου 17) καταῤῥόπου σχηματίσαντες, κελεύσομεν καθεῖναι τοὺς δακτύλους εἰς τὸ ςόμα, καὶ προσάπτεσθαι τοῦ γαργαρεῶνος καὶ τῶν παρισθμίων τῷ πλάτει τῶν ὀνύχων. 18) οὕτω γὰρ μάλιςα ἐρεθίζοιντο. τά τε σκέλη καὶ τὰς ἰγνύας ἐκτείνειν ὅτι μάλιςα, καὶ κάμπτεσθαι καὶ τὴν ῥάχιν, ἢ τῆς ἑτέρας 19) χειρὸς τοὺς κονδύλους ἐνερείδειν εἰς τὴν γαςέρα, ἢ αὐτοὶ ἐνερείσομεν, 20) εἴπερ ἐκεῖνοι ἀδυνάτως ἔχοιεν. εἰ δὲ μὴ κενοῖντο 21) μηδὲ οὕτως, ἐπιβιβάσωμεν αὐτοὺς ἐπὶ τὸ κλινίδιον, τὸ ἔχον ὑπόβαθρα 22) διαγωνίαν, τὸ κρεμαςὸν, καὶ σείσομεν αὐτὸν, 23) ὡς ἐντεῦθεν παραθαῤῥύνοντές τε καὶ παρακελευόμενοι συμπροθυμεῖσθαι, τούς τε δακτύλους αὐτῶν

to igni dorſo, et ori ventriculi applicabimus, et parum aquae feruentis per interualla ſorbendum offeremus. ſique vehementer ſtimulentur, parum ſucci abſinthii, aut ejus decocti addemus. Nemo enim ita proclivis ad vomitum eſt, neque ſtomachum ita habet averſum, qui non a duobus aut tribus ex his remediis levetur. si vero contra, propter robur ſtomachi, aut aliquam aliam cauſam, non debito tempore purgari incipiant, in ſublimi lectulo, qui deorſum vergat, collocabuntur, et, ut digitos in os coniiciant, iniungemus: et ut gurgulionem et tonſillas unguium latitudine contingant. ita enim potiſſimum vomitus irritabitur. praeterea jubebimus, ut tibias et poplites quamplurimum poſſint, extendat, et flectant, itemque ſpinam, et, ut utriuſque manus pugnos in ventrem impingant: aut nos impingemus, si ipsi per se non poterunt. si vero ne ita quidem evacuabuntur, eos in lectulo collocabimus, cujus ſtrata angularia ſint. et ipſe ſit penſilis: eoſque agitabimus et concutiemus, ut ibidem eos adhortantes et jubentes, ut

14) Ita correxi. Codex καὶ exhibet.
15) Codex: χιλίσματός ἢ. Sic. Pudet profecto hujuscemodi referre. Pleraque ergo ſilentio praeterii. Vix puto, ſcribam graeca, nedum graece, intellexisse. Mox rursus corrigendum, ut ſupra monitum eſt, εὐεμής.
16) Codex: ἐςίας. In marg. αἰτίαν. Utrumque absurdum. Ergo correxi.
17) Forte, καὶ interponendum. Aut, καταῤῥόπως. Nisi voluerit κατωῤῥόπως, ut ἀνώῤῥοπος, κατωφερής.
18) Ita ego ausus ſum corrigere. Codex: οὗτος (in marg. οὕτως.) γὰρ μάλιςα ἐρεθίζωντε τά τε σκέλη. Sic.
19) In marg. ἑκατέρας.
20) In textu: ἐνεργείσομεν. In marg. ἐνερεισόμεν. Sic.
21) Codex: κένοιντο μὴ δὲ, quod poſterius μὴ δὲ in multis Codd. reperitur, atque ex iis in editionibus Aldinis etiam. Cum futura antecesserint, conjici licet ἐπιβιβάσομεν. Frequens eſt in his confusio literarum ω et ο.
22) ὑπόβαθρα lectorum ſatis nota ſunt vel ex Xenoph. Διαγώνιος ſupra lectum eſt. Credo διαγώνια legendum. Vide paullo ante ſectionem hujus capitis ſecundam, ubi κρεμαςὸν etiam occurrit. Pag. 170. eſt ὑπόβλητα.
23) Codex dubius eſt inter σείσομεν et σεισόμενον. Accentus certe eſt in priore ί. Idem habet ἑαυτὸν, quod correxi. Mox Codex, ἐνταῦθα.
24) Vide paullo ante notam 8. Scriba hic rursus exhibuit, χρήσομεν, atque adeo κοπρίνῳ. Sic et mox eſt χρήσαντας, item ἔγνον, σκαμωνίας, κινήσαντα.

χρίσομεν 24) ἰρίνῳ, ἢ κυπρίνῳ. ἔγνων δέ τινας σκαμμωνίας ὀπῷ χρίσαντας τοὺς δακτύλους καὶ κινήσαντας τὴν κάθαρσιν. καὶ εἰ μηδὲ οὕτως 25) ὑπάρχοιντο τῆς καθάρσεως, πτερὰ χήνια 26) σκυδήσαντας 27) τῶν οὐραίων ὀκτὼ ἢ δέκα ἀποβάπτοτες εἰς τὰ 28) ἴρινον ἢ κύπρινον καθείσομεν, 29) ἢ δακτυλήθρας. 30) ῥάπτονται δὲ αἱ δακτυλῆθραι ἐκ δέρματος καρχηδονίου, ἢ ἄλλου, ὡς ὅτι ἁπαλωτάτου, μῆκος, ὅσον δακτύλων δέκα ἢ δώδεκα, εἰς ὁμοιότητα δακτύλων. τούτων τὸ μὲν ἑξαδάκτυλον διάστημα πληροῦται ἐρίων· 31) τὸ δὲ τετραδάκτυλον κενὸν ὑπολείπεται, πρὸς τὸ περιαρμόζεσθαι τοῖς δακτύλοις. ἀποβάπτωντες δὲ καὶ ταῦτα εἰς τὰ προειρημένα μύρα καθήσομεν εἰς τὸν στόμαχον. παρασημειωτέον δὲ, ὅτι ἐπὶ μὲν τῶν ἄλλων, ἐμβαλλομένων εἰς κρεμαστὸν κλινίδιον, τὴν κίνησιν ἐπὶ πόδας ἢ κεφαλὴν ποιούμεθα· ἐπὶ δὲ τῶν μὴ δυναμένων ἐμεῖν, εἰς τὰ πλάγια. χρὴ δὲ καὶ τὴν κρέμασιν ἀνώμαλον εἶναι, ὥστε παραπλησίαν τὴν κίνησιν τῇ κατὰ πλοῦν γίνεσθαι. δώσομέν τε αὐτοῖς καὶ τοῦ μελικράτου καταῤῥοφεῖν, ὑσσώπου, ἢ ὀριγάνου, ἢ θύμου ἐναφεψημένου,

Τίνα χρὴ πράττειν, πνιγμοῦ παρακολουθοῦντος ἐπὶ τῶν ἐλλεβοριζομένων.

Ἐπεὶ δέ τινες 32) δυσεμεῖς ὄντες πνίγονται· πολλάκις δὲ καὶ ἄφωνοι γίνονται· τὸν μὲν πνι-

vomere contendant, et in eam rem incumbant: eorumque digitos irino, aut cyprino inungemus. Novi etiam, qui scammonii liquore digitos ungerent, et ita purgationem concitarent. Sed si ita non sequatur purgatio, pennas anserinas ex cauda, octo aut decem, cyprino, aut irino intinctas indemus: aut etiam digitalia. consuuntur enim digitalia ex corio Carthaginiensi, aut alio quovis mollissimo, ad longitudinem digitorum decem aut duodecim, instar digiti ex his spatium senum digitorum lana impletur: reliquum vero, quod quaternum digitorum est, inane relinquitur, ut digitis aptetur. haec igitur ante dictis unguentis intincta in stomachum immittemus. Est autem adnotandum, in iis, qui in lecto pensili statuuntur, motum versus pedes, aut caput cieri: in iis vero, qui vomere non possunt, in latera. in quo casu pensilis quoque inaequalis esse debet, ut motus navigationi similis efficiatur. Praeterea melicratum, in quo hyssopum, aut origanum, aut thymum incoquatur, sorbendum dabimus.

Quid faciendum sit, cum strangulatio occupat eos, qui elleborum sumserunt.

Quoniam nonnulli difficulter vomunt, et ideo suffocantur, et saepe

25) Vide supra cap. 5. notam 86.
26) Alibi in his ipsis libellis, χήνειος, ut alibi, et in similibus adjectivis.
27) Propter ἀποβάπτοντες hic requiri videtur nominativus, addito καὶ, aut τε. Sed istud σκυδήσαντας dubium. Obversabatur memoriae aliud hujuscemodi vocabulum, cjus tamen nunc non poteram satis recordari. Forte, σκυτίσαντες, id est, ἐκσπάσαντες. Hesych. σκυτίζει· σπαράττει. Aut, σχίσαντες.
28) Codex τόν. Correxi τὸ atque intelligo ἔλαιον. v. notam 24.
29) Ita Codex. Forte, καθήσομεν, ab καθίημι. Rasarius videtur voluisse, ἐνήσομεν. Mox est, καθιέντες τὰ πτερά.
30) Codex bis per iota, non per ita. Superius etiam occurrit hoc vocabulum. v. Xenoph. p. 241. Athenaeum Deipnosoph. p. 6. D. Est et genus tormenti. v. Synes. T. II. p. 33. 50.
31) Forte, ἐρίων. Mox rursus Codex exhibet, καθέσομεν.

γμὸν παρηγορήσομεν, μελίκρατον συνεχῶς ἐπιῤῥοφεῖν διδόντες, ὡς μάλιστα μὲν πήγανον. εἰ δὲ μή γε, τῶν ἄλλων τι, τῶν προειρημένων, ἐναφήψαντες, 33) καὶ κατ' ὀλίγον καὶ συνεχῶς προσφέροντες. σπαράξομέν τε, κινοῦντες ἐπὶ τοῦ κλινιδίου, καθιέντες τὰ πτερὰ σφοδρότερον. εἰ δὲ πάνυ ἐνοχλοῖντο, ἀποβρέγματος ἐλλεβόρου τρεῖς ἢ τέσσαρας κυάθους προσοίσομεν· τὰς 34) δὲ ἐμετικὰς ἀποδοκιμάζομεν διὰ τοῦτο, ὅτι τὸ μὲν ἀπόβρεγμα, τῆς αὐτῆς ποιότητος ὂν τοῦ ἐλλεβόρου, συνεργεῖ πρὸς τὴν κάθαρσιν. αἱ δὲ ἐμετικαὶ διάφορον ἔχουσαι ποιότητα, τὸν στόμαχον μόνον ἐρεθίζουσι, τὸν δὲ ἐλλέβορον οὐκ ἀνακινοῦσι. εἰ δὲ ὁ κατὰ τὸν πνιγμὸν κίνδυνος ὑπὸ μηδενὸς τούτων παρηγοροῖτο, δριμυτάτῳ κλύσματι κλύσομεν αὐτούς. ἀναβολὴν γὰρ τοῦ κινδύνου παρέχεται, καιρόν τε ἐνδίδωσιν εἰς χρῆσιν ἄλλων βοηθημάτων. δώσομεν δὲ αὐτοῖς καὶ χαλβάνης, 35) ὅσον τριώβολον, καταπιεῖν· καὶ εἰ μηδὲ οὕτω παρηγοροῖντο, οὔρου παλαιοτάτου δύο κυάθους ἀναγκάσομεν ῥοφῆσαι. ταῦτα δὲ ἀμφότερα, ἔμετον μὲν οὐ κινεῖ· τὸν δὲ πνιγμὸν παρηγορεῖ.

etiam voce privantur: idcirco ſtrangulationem ſedabimus continua melicrati ſorbitione, in quo ruta praecipue ſit incocta: ſin minus, aliquid aliud eorum, quae praedicta ſunt: idque paulatim et continenter propinabimus. itemque ſtomachum proritabimus in lectulo pennam vehementius immittendo. ſi vero valde admodum perturbentur, diluti ellabori cyathos tres aut quatuor offeremus. quae vero ad vomitum provocandum adhiberi ſolent, reprobamus, vel ob hanc cauſam, quod ellebori dilutum ejuſdem qualitatis cum elleboro eſt et purgationem adiuvat. at, quae vomitum provocantia dicuntur, cum diverſae qualitatis ſint, ſtomachum ſolum irritant: elleborum vero non commovent. ſi periculum quod ex ſuffocatione imminet, nullo ex his remediis ſublevetur, acerrimo clyſtere rem transigemus. intermiſſionem enim periculi praebet, et tempus nobis ſuppeditat, ut aliis uti remediis poſſimus. dabimus quoque galbani tres obolos, quos deglutiant. ſed, ſi ne ita quidem ſequatur levatio, ut duos vetuſtiſſimae urinae cyathos ſorbeant, cogemus. haec enim ambo vomitum non cient, et ſuffocationem ſublevant.

32) Scriba pro more ſuo, δυσήμεις. δυσεμετεῖν habet Areth. ad Apocal. p. 685. D. ubi corrigendum ἀποῤῥοφήσει, loco ἀποφορήσει. Mox p. 174. v. 2. fortasse, μετὰ πηγάνου.

33) Codex: ἐναφήψηται.

34) Malim, τὰ — ἐμετικά. Sed mox rursus eſt: αἱ ἐμετικαὶ ἔχουσαι, loco τὰ ἐμετικὰ ἔχοντα. Si ergo iſta ſana ſunt, neſcio, quid aliud intelligendum ſit, quam βοτάναι.

34) In τὰ ἐμετικὰ intelligitur, φάρμακα, quod notum eſt. Alius tamen hic intelliget, φαρμακείαι.

35) Dioscor. 3. 97. p. 215.

Τίνα χρὴ πράττειν, ἀφωνίας καὶ ἀναισθησίας παρούσης, ἐπὶ τῶν προειρημένων.

Ἐι δὲ ἄφωνοι καὶ ἀναίσθητοι γίγοιντο, τοῖς σφηνίσκοις· αὐτῶν διαστήσαντες τοὺς ὀδόντας ενι 36) ἑκατέρωθεν παρὰ τοὺς χαλινοὺς 37) ἐντίθεμεν 38) τὰ πτερὰ, ἢ τὰς δακτυλήθρας καθήσομεν. πταρμικόν τε προσοίσομεν, μάλιστα μὲν αὐτὸν τὸν ἐλλέβορον· εἰ δὲ μὴ, εὐφόρβιον, ἤ τι τῶν ὁμοίων. ἐνίοτε γὰρ πταρέντες συνεξέβαλον σύστρεμμα 39) φλεγματῶδες, ὃ δὴ τῷ στομάχῳ ἐνεστὼς, 40) τὸν πνιγμὸν καὶ τὴν ἀφωνίαν εἰργάζετο. καὶ, εἰ τὰ τῆς ἀφωνίας ἢ τὰ τῆς ἀναισθησίας ἐπιμένοιεν, λαβόντες ἱμάτιον τῶν πάνυ εὐρώστων, καὶ διατείναντες αὐτὸ, δώσομεν διακρατεῖν ἐκ τῶν δύο μερῶν νεανίσκοις ἰσχυροῖς καὶ πολλοῖς, ἑστῶσιν ἀλλήλων ἀπαντικρὺ, καὶ μετέωρον ἀπὸ τῆς γῆς κελεύσαντες διατείνειν τὸ ἱμάτιον, εἶτα κατακλίναντες ἐνταῦθα τὸν ἐλλεβοριζόμενον, ποτὲ μὲν αἰωρήσομεν 41) αὐτὸν, τῇδε κᾀκεῖσε τὸ ἱμάτιον ῥέμβοντες, 42) ποτὲ δὲ ἐκκυλίσομεν 43) ἐν μέρει ἑκατέρῳ, τῶν

Quid agendum, cum in his et vox et fenfus amittitur.

Si vocis ac fenfus expertes fiant, cuneolis eorum dentes diducemus in utramque partem: et pennas immittemus, aut digitalia indemus: et quod fternutationem excitet, offeremus: ac praefertim elleboro ipfo ad id utemur: fin fecus, euphorbio, aut aliquo alio confimili. quandoque enim fternutantes, vorticem quendam pituitofum fimul eiecerunt, qui cum ftomacho ineffet, et fuffocationis et amiffae vocis causam afferebat. si vero, et vocis, et fenfus privatio ita perfeveret, veftimentum aliquod admodum firmum et robuftum extendemus, et ex duabus partibus tenendum juvenibus robuftis, et aliis, qui contra fefe fint conftituti, ac jubebimus, ut ipfum veftimentum fublime a terra extendant, tum in eo reclinabimus hominem, qui elleborum fumfit: ac quandoque in fublime tollemus, eodem etiam veftimentum circumvertemus: quandoque vero in latus utrumque devoluemus, aliis id latus, quod prope eos fit, attollentibus, aliis vero deprimentibus. ac tunc quidem fcire

36) Sic, fine fpiritu et accentu, et fenfu ἔνι. Forte voluit, ὡς ἔνι, quantum licet, quantum fieri poteft.
37) Codex: χαληνοὺς, inscripta tamen ab alio littera iota. Recte! Pollux lib. II. p. 199. Gregor. Nyss. T. II. p. 237. Vide Stephani thesaurum in hoc vocabulo, qui, Latine etiam *fraenum* appellari, docet.
38) De quibus paullo ante dixit. Mox rursus Codex: δακτυλίθρας et καθίσομεν. Apud hunc fcribam ergo ει, ι, η pro eodem funt.
39) Cod. σύστρεμα.
40) In marg. ἐνεστὸς. In textu: ἐνεστὼς, quod ipsum etiam neutro genere probatur ab grammaticis.
41) Cod. ἐωρίσομεν.
42) Cod. ῥεμβοῦντες. Hoc non memini legere. Interim ergo correxi, donec idonea auctoritate firmetur. In hoc ipso libello, ni fallor, fuperius occurrebat ῥέμβειν. ῥέμβω et ῥέμβομαι habent Galen. in Gloffis. p. 92. Gregor. Naz. p. 190. Theophylact. p. 638. D. Chryfoft. T. IV. p. 115. C. Scholiafta ad Theocrit. Id. 7, 23. et alii.
43) Ita correxi. Cod. ἐγκυλίσομεν. ἐκκυλίζειν fatis notum ex Xenoph. mem. Socr. 1, 2, 22. Maximo Tyr. p. 148. Synes. T. II. p. 38. Aeschyl. p. 15. Cinnamo p. 16. 168.

μὲν ἐπαιρόντων τὸ πρὸς αὐτοῖς μέρος, τῶν δὲ ταπεινούντων. εἰδέναι δὲ χρὴ, ὅτι οἱ σεισθέντες οὕτως, εἰ μὴ παύσαιντο τῆς ἀναισθησίας, οὐκ ἐπαναφέρουσιν. 44)

Τίνα χρὴ πράττειν, λυγμοῦ 45) παρακολουθοῦντος ἢ σπασμοῦ, ἐπὶ τῶν τοιούτων.

Ἐπεὶ δὲ καὶ λυγμὸς παρακολουθεῖ μὲν πολλοῖς τῶν ἐλλεβοριζομένων, καὶ σχεδὸν πᾶσιν, οὐκ ἐπὶ πάντων δὲ κίνδυνον παρέχεται, τὸν μὲν πρᾴως τὲ καὶ ἐκ μειζόνων διαλειμμάτων ἐντρέχοντα, συγχωρήσομεν. οὐ γὰρ ἀνωφελὴς ἔσται, σπαράττων τὸν στόμαχον καὶ ὑπομιμνήσκων 46) τῆς ἐκκρίσεως· εἰ δὲ σύντονός τε εἴη καὶ σφοδρὸς καὶ πολλοῖς 47) κραδαίνοιτο τὸ σῶμα καὶ σπασμοὺς ὑπάγοι· 48) πρῶτον μὲν τὸ μελίκρατον δώσομεν καθ᾽ ἑκάστην ἔμπτωσιν 49) ἐπιῤῥοφεῖν θερμότερον, ὀλίγον δὲ πήγανον ἐναφεψείσθω, 50) καὶ μόνον ἀνακογχυλίζεσθαί τε παρ᾽ ἕκαστα τῷ μελικράτῳ ἢ ὕδατι θερμῷ κελεύσομεν. εἰ δὲ μὴ παύοιτο ἐνοχλῶν, πταρμικῷ χρησόμεθα. εἰ δὲ καὶ οὕτως ἐπιμένοι, παρ᾽ ὅλον τὸ μῆκος τῆς ῥάχεως σικύας προσβαλοῦμεν. εἰ δὲ σφόδρα ὀχλώδης εἴη, προλιπάναντες τὸ μετάφρενον, θήσομεν μίαν σικύαν ὑπὸ τὸν μέγαν σπόνδυλον τοῦ τραχήλου, μετάγειν τὲ πρᾴως

conuenit, nisi homo his quaſſationibus et commotionibus a ſenſus privatione non ſublevetur, cum non eſſe praeterea ſenſum recuperatum.

Quibus remediis utendum ad horum ſingultus et conuulſiones.

Quoniam pleroſque ac ferme omnes eos, quibus elleborus datus ſit, ſingultus corripit, non omnibus tamen periculum inuehit: ideo fit, ut, qui leniter et maiore ſpatio interpoſito intercurrit, eum ita ſinamus: quandoquidem non ſit futurus inutilis, cum ſtomachum proritet, et quasi recordationem excretionis ei ſuggerat. ſi vero fuerit contentus et vehemens, et multis os vibret et quatiat, et conuulſiones inducat, in primis melicratum dabimus, quod in ſingulis ictibus calidius abſorbeatur: parum autem rutae ſimul decoquatur: aut per ſe ſuccus exprimatur, et ſingulatim, aut ex melicrato, aut calida aqua ſorbendum exhibebimus. ſi non ſubleventur, remedio utemur, quod ſternutamentum cieat. ſi vero ita quoque moleſtia perſeveret, per totam ſpinae longitudinem

44) ἀναφέρειν h. l. eſt, *ad ſe redire.* v. Heliodor. p. 2. καὶ μικρὸν ἀναφέρων, ὥσπερ ἐκ βαθέος ὕπνου. Ibid. p. 184 ἀνενεγκόντες. Chryſoſt. T. III. p. 47. A. T. X. p. 504 A. Isidorus Pelusiota. p. 21. Doruill. ad Charit. p. 200. Cinnam. p. 118. τοῦ πτώματος ἀνενεγκών, ſcilicet, ἑαυτόν. Philoſtorgius p. 3. 21. Gregor. Naz p. 309. ταῖς θεραπείαις τὰ σώματα κάμνοντα.

45) Erotian. p. 34. λύγγος· λυγμός. Forte voluit λυγγός· λυγμοῦ. Tamen et ex aliis notatur λύγγος. Vide hic paullo inferius. De λύγξ v. Thucyd. II, 49. λυγμὸς habet etiam Gregor. Nyss. T. II. p. 204. et alii.

46) Elegantiſsime. De ſtomacho enim, tanquam de persona, loquitur.

47) Corrigendum πολύς. Stultus ſcriba hanc elegantem et usitatissimam dicendi formam non intellexit. Sufficit laudare Demoſth. p. 294. πολὺς ἔγκειται τοῖς συμβεβηκόσιν. In iſtis, πολὺς adjectivum, in diversis casibus eſt; loco adverbii σφοδρῶς, veluti apud eundem Demoſthenem, πολλῷ ῥέοντι.

48) Nisi malis, ἐπάγοι. De ὑπεγείροι non dubitassem.

49) Impetum ſingultus.

50) Hic quaedam de ſuo inculcavit Rasarius, nisi ea pro duplici interpretatione habenda ſint. Nullum enim alium Codicem in his ad manus habuit.

αὐτὴν καὶ κατασπᾶν εἰς τὴν ῥάχιν πειρασόμεθα, καὶ γενομένης, καθ' ὃν τόπον ἡ γαστὴρ κεῖται προσκειμένης, 51) ἔτι τε ἄλλην προσθήσομεν παρὰ τὸν σπόνδυλον, ἄνω μεταγαγόντες τὴν δευτέραν· οὕτω τε τὴν πρώτην βαστάσομεν, καὶ πάλιν ἀνωτέρω θήσομεν. πολλάκις γὰρ αἱ ἐπιβολαὶ τῶν σικυῶν ἀπευθύνουσι τὸν στόμαχον, σκολιούμενον καὶ συνελκόμενον ὑπὸ τῆς λυγγός· τά τε ἄκρα διαδήσομεν καὶ θάλψομεν, ἄλλως τὲ πυριάντες καὶ καθιέντες εἰς ὕδωρ θερμόν· καὶ μὴν καὶ ἐκπλήξεις τινὰς ἐπιμηχανησόμεθα, καὶ ὀνειδιοῦμεν αὐτοῖς, καὶ μέγα εἰσπνεῖν προστάξομεν, καὶ ἐπὶ μακρὸν ἕλκειν εἴσω τὸ πνεῦμα καὶ ἀναπνεύσειν ἐπιπολύ.

cucurbitulas applicabimus. si vero admodum offea fpina fuerit, dorfo prius peruncto, unam cucurbitulam fub magna colli vertebra affigemus: eamque deducere fenfim, et deorfum in fpinam trahere conabimur: cumque ad eum locum perducta fuerit, ubi ventriculus adiunctus eft, aliam quoque admovebimus prope vertebram, et ita eam etiam deducemus, atque ita primam ablatam iterum fuperius applicamus. nam faepenumero cucurbitulae admotae ftomachum a fingultu contractum, et velut contortum dirigunt, et ad fuum ftatum redigunt. Praeterea vero partes extremas vinculis excipiemus, easque calfaciemus tum fomentis, tum in aquam calidam infundendo. ad haec etiam pavores quofdam machinamur, et contumeliis eos inceffimus, et, ut magnas infpirationes edant edicimus: atque etiam, ut longo tempore fpiritum intro trahant: et, ut longo tractu refpirent.

Τί δεῖ πράττειν ἐπὶ τῶν παρακολουθούντων 52) συνολκῶν.

Συνολκαὶ δὲ παραπλησίως, ὥσπερ καὶ λύγξ, πᾶσι παρέπονται· τὰς δὲ σφοδράς· 53) γίνονται δὲ αὐταὶ, τῶν μυῶν μάλιστα, τῶν ἐν ταῖς γαστροκνημίαις 54) καὶ τοῖς μηροῖς καὶ τοῖς βραχίοσι, καὶ τῶν μασητήρων 55) μυῶν· γίνονται

Quid facto opus fit in contractionibus, quae confequuntur.

Quemadmodum fingultus omnes invadere, ita contractiones quoque confueverunt: quarum vehementes, quae praefertim mufculis accidunt, qui in cruris fura funt, itemque in femoribus, et brachiis, et mufculis mafticatoribus,

51) γενομένης refertur ad σικύας. προσκειμένης prorsus poterat abesse. Forte ergo προσκειμένη, nimirum, ἡ γαστήρ. Aut, προσκειμένῃ, fcilicet τῇ σικύᾳ.

52) Codex: παρακολούντων. Mox idem λὺξ habet.

53) Conftructio hic fufpenfa eft. Poft plura ergo demum ita nectitur: τὰς δὲ σφοδράς — μᾶλλον ταύτας.

54) γαστροκνήμιον notat Pollux. p. 246. Ita quoque legi apud Melampod. fol. 109. pag. 2. edit. Rom. variarum hiftoriarum Aeliani. γαστροκνημία tamen, et quod idem eft, γαστροκνημίη occurrit in Foes. Oecon. Hippocr. apud Ruf. Ephes. edit. Paris. pag. 24. fed ibid. pag. 39. γαστροκνήμια a γαστροκνήμιον reperitur. γαστροκνημία rursus eft in Anonymi introduct. Anatom. Lugd. Batav. 1618. 4. pag. 86.

55) Alii, ut iam fuperius monitum eft, duplici σσ fcribunt.

δὲ καὶ, ποδῶν ἄκρων καὶ χειρῶν· μᾶλλον ταύτας δὴ παρηγορήσομεν, ἰσχυρῶς λιπαίνοντες, θλίβοντες, θάλποντες, πυριῶντες. ἄκρως δὲ ἢ ταύτας τὰς συντάσεις ὀνίνησιν ἡ διὰ τῶν χειρῶν θλίψις τῶν μυῶν. τὸ γὰρ συλλεγόμενον εἰς τὰς κοιλίας αὐτῶν πνεῦμα, καὶ ποιοῦν τὴν συνολκὴν, ἐκθλίβουσιν αἱ χεῖρες πιέζουσαι. καὶ σικυώνιον δὲ, καὶ πάλαιὸν ἔλαιον, καὶ τῶν ἀκόπων 56) τὰ θερμαντικὰ καὶ μαλακτικὰ, καὶ καςόριον ἐμβρεχόμενόν τε καὶ πινόμενον, καὶ 57) κατ' ἰδίαν, ἢ μετὰ τοῦ μελικράτου, ἢ τὸ μελίκρατον πολὺ μετὰ τοῦ πηγάνου ῥοφούμενον. ταῦτα πάντα τὰς συνολκὰς ἀμβλύνει. μάλιςα δὲ πάντων ὀνίνησι τοὺς συνελκωμένους λουτρόν. διόπερ, εἰ τὰ τῆς καθάρσεως ἱκανῶς προκεχωρήκοι, ὥσπερ ἐπὶ τῶν πλείςων, συνελκομένων σφοδρῶς, τοῦτο συν 58) λούσομεν αὐτοὺς, καὶ δεύτερον, καὶ τρίτον. ὀκτάκις δὲ τινα λουσάμενον ἐπὶ μιᾶς ἡμέρας, οὐχ ἧς ἔλαβε τὸν ἐλλέβορον, ἀλλὰ τῆς ἐπιούσης, ἔγνωμεν· συνείλκετο γὰρ σφοδρῶς τῇ δευτέρᾳ ἡμέρᾳ· καὶ παυσάμενος 59) τῆς ἐνοχλήσεως.

et in extremis pedibus, et potius etiam in manibus, quarum inquam vehementes sedabimus, copiose ungentes, comprimentes, calfacientes, foventesque. quin hujusmodi contentiones compressio musculorum manibus facta summopere adjuvat. nam, qui in eorum ventribus collectus est spiritus, qui contractionis est autor, manuum compressu eliditur. Iam vero oleum Sicyonium, et vetus, et ex acopis, quae calfaciunt et molliunt, et castoreum perfusum et epotum, et per se, et cum melicrato, et melicratum copiosum cum ruta absorptum, obtundere et levare contractiones solent. sed maxime omnium contractos juvat balneum. quapropter, si purgatio abunde successit, ut in plerisque eorum, qui vehementer contrahuntur, contingit, * * * eos lavabimus, et iterum., et tertio. ac quendam etiam uno die octies lotum vidimus, non eo die quidem, quo elleborum sumserat, sed consequente. nam secundo die vehementi contractione correptus balnei auxilio fuit levatus.

Τίνα χρὴ πράττειν, ὑπερκαθαιρομένων αὐτῶν, εἰς κατοχὴν τοῦ ἐμέτου.

Τὰς δὲ ὑπερκαθάρσεις ςήσομεν θερμοτάτῳ ποτῷ, καὶ τῇ διαδέσει τῶν ἄκρων, καὶ τῇ τρίψει 60) σφοδρᾷ, καὶ σικύαις εὐτόνοις, ταῖς

Quid faciendum in nimia purgatione, ut vomitus comprimatur.

Nimias purgationes sistemus calidissimum potum propinando, et extrema ligando, et vehementi frictione, et va-

56) *acopa* medicamenta, seu, unguenta, apud Latinos etiam occurrunt, ut apud Plin. H. N. et Celsum.

57) In Codice: καθινδίαν, et mox, μετὰ τοῦτο, quae correxi.

58) Hic est spatium vacuum litterarum undecim aut duodecim. Pro συν Rasarius conjecit, συμβαίνει. Ipse tamen etiam tribus stellulis hic defectum notavit, quod, ut multis exemplis doceri potest, in his libris hunc solum codicem ad manus habebat.

59) Corrigendum videtur παυσάμενον, ut λουσάμενον, scilicet ἔγνωμεν.

60) τῇ interponendum videtur. reperi tamen et aliquoties sic, sine articulo, veluti apud Polyaenum.

μὲν καθ' ὑποχόνδριον, ταῖς δὲ κατὰ μετάφρενον τιθεμέναις, καὶ βιαίως ἀποσπωμέναις· ἄκρως δὲ ἀψινθίου πόσις ἐπέχει τοὺς ἐμέτους. εἰ δὲ ἐπιμένοιεν, καὶ τοῖς ἀνωδύνοις ὑπνωτικοῖς χρησόμεθα. τῇ τε γὰρ δυνάμει ξηραντικὰ ὄντα, πάσας ἵστησι τὰς ἐκκρίσεις, καὶ τῇ τοῦ ὕπνου ἐπαγωγῇ. στατικὸν 61) γὰρ καὶ ὕπνος ἐκκρίσεως.

Τίνα χρὴ πράττειν, ἱδρώτων παρακολουθούντων.

Τὴν δὲ ἀμετρίαν τῶν ἱδρώτων τῶν ἐπιγινομένων στήσομεν, 62) ῥιπίζοντες τὸ σῶμα καὶ ἀποσπογγίζοντες 63) σπόγγοις, διὰ ψυχροῦ ὕδατος ἢ ὀξυκράτου τεθυλωμένοις, 64) ἐμπάσμασί τε χρησόμεθα τοῖς τε στύφουσι, τοῖς τε παρεμπλάσσουσι, κατάπτωσίν τε δυνάμεως τροφαῖς καὶ οἴνοις ἀνακτησόμεθα. ὅσοι δὲ ἐπὶ τούτων θάλψιν ἢ θλίψιν παραλαμβάνουσιν, οὐ μοὶ δοκοῦσι δύνασθαι διακρίνειν θλίψιν καταπτώσεως.

Κ Ε Φ. ζ.

Ἐκ τῶν Ἡροδότου. Περὶ τῶν κινδυνευόντων πνιγῆναι. Ἐκ τοῦ, περὶ τῶν κενουμένων βοηθημάτων.

Οἱ δὲ κίνδυνον ἔχοντες πνιγμοῦ, περὶ μὲν τὴν ἀρχὴν τῆς καθάρσεως ὀλίγον σίελον ἀποπτύουσι· προθυμίας δὲ αὐτοῖς σφοδρᾶς πρὸς ἔμετον γινομένης, οὐδὲν ἐκκρίνουσιν· ἀνοιδοῦντες δὲ τὸ πρόσωπον μετὰ προβολῆς τῶν ὀμμάτων,

lidis cucurbitulis, tum hypochondrio, tum vero dorso admotis, et vi etiam avulsis. Summe etiam vomitus cohibet absinthii potio. sed si vomitus perseverarint, etiam soporiferis, dolorem mitigantibus, utemur. haec enim cum suapte natura vim exsiccandi habeant, et quia somnum inducunt, ideo excretiones sistunt: siquidem somnus quoque vim excretionis sistendae habet.

Quid agendum, cum sudores consequuntur.

Sudores immoderatos sistemus ventulum commovendo, corpusque spongiis, aqua frigida aut posca imbutis, et expressis, abstergendo: utemurque linimentis et stipantibus, et emplasticis. casum autem virium alimentis et vino recuperabimus. Qui vero teporem aut anxietatem sentiunt, ii mihi videntur nescire anxietam a casu virium distinguere.

Ex Herodoto, de iis, quibus suffocationis periculum imminet. Ex libro de remediis evacuantibus. Cap. 7.

Qui periclitantur, ne suffocentur, ii in principio purgationis modicum salivae exspuunt: cum autem vehemens vomendi appetitus excitatur, nihil excernunt, facies intumescit; oculi exeruntur, colligantur et constipantur partes ad respirationem pertinentes, cum

61) Vim inhibendi habens. Saepius hic στῆσαι eodem occurrit sensu.

62) Haud ineleganter Gregor. Naz. p. 135. dixit: ἄνεμον ταῖς ῥιπίσι, (quod est ex ῥιπίζειν,) σοφίζεσθαι.

63) Sine auctoritate hoc notat Stephanus. Habet Antiphon p. 726. Schol. Theocrit. ad Id. 7. vers. 15.

64) Hoc quid sit, nunc non succurrit. Istud υ in Codice poterat etiam accipi pro ο μικροῦ, ab θολοῦν. Credo tamen esse υ. Τετιλμένοις solum nunc in mentem veniebat, *tractis per aquam* etc.

ἀντιλαμβάνονται 65) συνδεδεμένων καὶ ἐμφραττομένων τῶν περὶ τὴν ἀναπνοὴν 66) μερῶν μετὰ δυσπνοίας. ἔνιοι δὲ καὶ τὴν γλῶσσαν προβάλλουσι μετὰ πλείονος ἱδρῶτος· οἱ δὲ καὶ συνείδουσι 67) τοὺς ὀδόντας, καὶ τὴν διάνοιαν 68) μεταλαμβάνονται. γνόντες οὖν τὸν ἐφεστῶτα κίνδυνον ἀνυπερθέτως βοηθήσομεν, δὲ 69) τὰ μύρα διὰ τῶν πτερῶν, καὶ προσαναγκαζόμενοι τὸ ἐγκείμενον φλέγμα τοῖς περὶ τὴν κατάποσιν τόποις. ἐγὼ γοῦν ἐπί τινος πνιγομένου, καὶ πρὸς τὸ τελευτᾷν τὸν βίον ὄντος· συνειρηκὼς 70) γὰρ τοὺς ὀδόντας ἔσπερεν, 71) ἐμφερῶς τοῖς ἀπεσφαγμένοις ἱερείοις, διαστήσας τοῖς 72) σφηνίσκοις τὸ στόμα, καὶ διασφαλισάμενος τοὺς ὀδόντας, ὡς μὴ μύσειεν, καθεῖκα τὴν χεῖρα, καὶ συνηγμένων νεύρων σφαιρηδὸν 73) πρὸς τῇ καταπόσει, φλέγμα χειροπληθὲς ἀνειλόμην, ὃ καὶ ῥιφὲν ἀδιαίρετον ἔμεινεν.

spirandi difficultate coniuncta. nonnulli vero linguam exerunt, et copioso sudore madescunt. alii dentes concutiunt, eisque mens tentatur. Cum igitur imminens periculum cognoscamus, nulla interposita mora quamprimum succurrere debemus. Unguenta enim pennis obuoluta indemus, et dabimus operam, ut pituitam, quae locis deglutionis infideat atque inhaereat, evellamus. atque ego quidem, in quodam, qui suffocatione correptus inibi erat, ut moreretur: (nam, dentibus contractis, ita conciderat, ut faciunt jugulatae ostiae:) ore cuneolis aperto, et dentibus obfirmatis, ne eos clauderet, manum inieci, et contractis in orbem neruis, qui ad deglutionem sunt, manui adhaerescentem pituitam extraxi, quae etiam absterfa, individua permansit.

Κ Ε Φ. η.

74) Κτησίου. Περὶ ἐλλεβόρου.

Ἐπὶ τοῦ ἐμοῦ πατρὸς καὶ τοῦ ἐμοῦ πάππου ἰατρὸς οὐδεὶς εἰσεδίδου ἐλλέβορον. οὐ γὰρ ἠπίσταντο τὴν κρᾶσιν αὐτοῦ, καὶ τὸ μέτρον, ἢ

Ctesii, de elleboro. Cap. 8.

Patris, avique mei temporibus nullus medicus elleborum dedit. nam neque ejus temperiem, neque modum,

65) ἀντιλαμβάνεσθαί τινος, inter alia est etiam, *sensu aliquid percipere.* Hoc sensu fere idem est, quod ἐπαισθάνεσθαί τινος.

66) Codex: ἡμερῶν.

67) Forte, συνείρουσιν, aut συνερείδουσιν, aut aliquid simile. Rasarius in mente videtur habuisse, συναράττουσιν. Apud Xenoph p. 941. B. et Diog. Laërt. p. 226. est δυνάκνειν.

68) Forte, μεταβάλλονται aut ἀποβάλλονται.

69) δὲ ita consistere nequit. Proxima, καὶ προσαναγκ. satis docent, deesse hic participium. Conjicio, διέντες. Mox forte, προσαναγκάζοντες. Post τόποις fortasse excidit, ἐξεμεῖν.

70) Hoc ergo firmat conjecturam nota 67. propositam. Paullo ante forte, πρὸς τῷ.

71) Immo vero, ἔσπαιρεν. Rasarius συνέπεσεν aut simile aliquid conjecit. Heliodor. p. 1. τῶν δὲ ἡμιθνήτων καὶ μέρεσι τῶν σωμάτων ἔτι σπαιρόντων. Philo p. 775. B. ἔσπαιρεν — ἐνυπαρχόντων. Notum est etiam ἀσπαίρειν.

72) Scriba uno vocabulo τοισφινίσκοις, quod correxi.

73) Utitur hoc Philo. p. 113. G.

74) Vide Fabric. bibl. gr. Vol. I. p. 830. Vol. XIII. p. 133. Mox malim, οὐδεὶς ἐδίδου.

τὸν σαθμὸν, ὁπόσον χρὴ διδόναι. εἰ δέ τις καὶ ἐδίδου ἐλλέβορον πιεῖν, 75) διαθέσθαι πρῶτον ἐκέλευεν, ὡς μέγαν κίνδυνον μέλλοντα κινδυνεύειν. τῶν δὲ πινόντων πολλοὶ μὲν ἀπεπνίγοντο· ὀλίγοι δὲ περιεγίνοντο. νῦν δὲ δοκεῖ ἀσφαλέσατον εἶναι.

neque pondus, quod dandum effet, illi cognoverant. si vero quifpiam elleborum potui daret, in primis hominem admonebat, fore, ut in magnum periculum cafurus effet. caeterum ex iis, qui fumferunt, multi fuffocati funt, pauci feruati. at nunc tuto dari videtur.

Κ Ε Φ. θ.

Ἐκ τῶν * Μνησιθέου. Περὶ ἐλλεβόρου.

Ἡ πόσις ἡ τοῦ ἐλλεβόρου κίνδυνον ἔχει πολύν. ἢ γὰρ εὐθὺς ἐποίησεν ὑγιεινὸν, ἢ πάνυ πολλὴν καὶ μακρὰν ταραχὴν ἐν τῷ πάθει κατεσκεύασε. δεῖ δὲ τὰ τοιαῦτα τῶν ἰαμάτων ὑπομένειν τὸν μηκέτι νομίζοντα διὰ τῆς ἀσφαλοῦς δύνασθαι θεραπείας ὑγιαίνεσθαι.

Mnefithei, de elleboro. Cap 9.

Ellebori potioni magnum periculum conjuctum eft. nam vel ftatim valentem hominem reddidit, vel multam longamque moleftiam in morbo concitavit. danda vero hujufmodi remedia funt iis, qui fe tuta curatione praeterea curatum iri non putant.

Κ Ε Φ. ι.

Ἐκ τῶν Ἀντύλλου. Περὶ ἀποφλεγματισμοῦ. Ἐκ τοῦ β. λόγου τῶν κενουμένων βοηθημάτων.

Τοῖς 76) ἀποφλεγματισμοῖς χρησέον μετὰ τὸ τὰ ἄλλα βοηθήματα παραληφθῆναι, τὰ μετάγειν δυνάμενα, σασίμου τῆς ὕλης ἤδη γινομένης, καὶ τοπικωτέρων χρῃζούσης βοηθημάτων. δύναται δὲ ἀποφλεγματισμὸς ὁμοῦ μὲν θερμαίνειν καὶ ἀπάγειν τὰ ἐνοχλοῦντα τῶν ὑλῶν, ἐπισρέφειν δὲ καὶ μεταποιεῖν τὰ σώματα, διαδόσεως ἐπ' αὐτὰ γινομένης ἀπὸ τῶν ἀποφλεγματιζόντων φαρμάκων, ἀνάλογον 78)

Ex fecundo libro Anthylli, de remediis evacuantibus. De apophlegmatifmo. Cap. 10.

Apophlegmatifmis utendum eft, ubi caetera remedia fuerint adhibita, quae deducere queant materiem ftabilem, quae iam facta fit, et localibus remediis potius indigeat. etenim apophlegmatifmus poteft fimul calefacere et materias infeftas abducere, corporaque corrigere et emendare, diftributis fuper eis medicamentis iis, quae pituitam avocant, ad finapifmi proportionem. his

---

75) διαθέσθαι h. l. eft, *teftamentum facere*, unde διαθήκη. Rasarius arbitrariam interpretationem interposuit. Mox fcriba exhibuerat κέλευεν, quod correxi. Forte deinde, πιόντων.

*) In indicibus, a principio Codicis, legitur, μνητέου. Mnesithei, medici Atheniensis, multoties meminit Athen. Deipnos. Proximi aorifti reddendi funt per *folet*

76) Habet Dioscor. 5, 4. p. 324. Vide Bernard ad Nonnum p. 46.

77) Cod. διὰ δώσεως.

78) Vide Aët. lib. 3. cap. 181.

συναπισμῷ. χρηστέον δὲ αὐτοῖς πρὸ μιᾶς ἡμέρας ἀποδεδωκυίας τῆς γαστρὸς διὰ κλύσματος, ἢ διά τινος τῶν κούφων καὶ καθαρῶν, τῶν ὑπαγόντων. μετὰ δὲ τὸν ἀποφλεγματισμὸν μελικράτῳ θερμῷ διακλύζεσθαι· εἰ δὲ σφόδρα 79.a) ἡ δῆξις ὑπολείποιτο, γάλακτι ἢ ῥοδίνῳ.

Κ Ε Φ. ιβ.

Περὶ ὑποκαπνισμοῦ. Ἐκ τῶν Ἀντύλλου. Ἐκ τοῦ β. λόγου τῶν κενουμένων βοηθημάτων.

Ου πολλοῖς, ἀλλὰ τοῖς περὶ θώρακα ἔχουσι νόσημα ὑποκαπνισμὸς ἐπιτήδειος, καὶ οὐδὲ τούτοις πᾶσιν. οὔτε γὰρ τοῖς αἱμοπτοϊκοῖς, οὔτε γὰρ τοῖς ξηρὸν ἔχουσι νόσημα περὶ τὸν θώρακα· μόνοις δὲ τοῖς ἀσθματικοῖς καὶ ὀρθοπνοϊκοῖς, ὅσῳ διὰ πλῆθος 79.b) φλεγμάτων δυσαναγώγων ἐνοχλοῦνται. χρηστέον δὲ τοῖς ὑποκαπνισμοῖς, τηνικαῦτα δὲ, ἡνίκα ἂν καὶ τῶν ἄλλων τοπικῶν βοηθημάτων, καὶ προμεμαλαγμένης τῆς γαστρός. χρὴ δὲ 80) καθίσαντας τὸν ἄνθρωπον, καὶ σκεπάσαντας ὅλον ἱματίοις, κελεῦσαι μὲν διαστῆσαι τὰ σκέλη, κατακύψαι δὲ τὸ πρόσωπον, ὡς ἐγγυτάτω τῶν γονάτων γενέσθαι τὸ στόμα, καὶ κεχανέναι· ἔπειτα μεταξὺ τῆς διαστάσεως τῶν σκελῶν θεῖναι χύτραν ἢ λεβήτιον, ἔχον ἄνθρακας ἡμμένους· ἔπειτα ἐπιπάσσειν ἐπὶ τὸ πῦρ ἀριστολοχίας, μάλιστα μὲν 81) κληματίτιδος, εἰ δὲ μὴ, δακτυλίτιδος, ἢ θεῖον 82) ἄπυρον, ἢ λάδανον 83) ἢ δᾶδας, ἢ ξύλα περσικῆς, τοῦ δένδρου, ἢ σχοινίον διεξασ-

autem utendum eſt, cum aluus pridie deiecit, aut clyſtere, aut aliquo alio leviter et pure ſubducente, irritata. poſt apophlegmatiſmum, melicrato calido colluemus: si vero vehemens morſus remaneat, lacte aut roſaceo, id ipſum erit faciendum.

Antylli, de ſuffumigatione. Ex *ſecundo de remediis evacuantibus.* Cap. 12.

Suffumigatio non multis quidem, ſed iis, quibus thorax morbo obſidetur, accommodata eſt: atque ne his quidem omnibus. neque enim ſanguinem ſpuentibus adhibenda: neque etiam arido morbo laborantibus: ſed iis ſolum conuenit, qui aſthmatici ſunt, et non niſi recta cervice ſpirant: quatenus a multitudine pituitae, quae difficulter educi queat, vexantur. Suffumigationibus autem utendum eſt, cum caeteris quoque localibus remediis utimur, prius tamen aluo emollita. Homo vero veſtibus totus tectus in ſede locandus eſt ita, vt, devaricatis cruribus, prona facie ad utrumque genu decumbat, et os fatiſcat. in ſpatio vero intermedio olla, aut lebes, ignitos carbones habens, ſtatuatur: tum in ignem ſpargenda eſt ariſtolochia, ac praeferſim, quae clematitis dicitur: ſin minus, quae dactylitis nominatur: vel ſulfur, ignem non expertum, aut ladanum, aut toedam;

79 a) Forte σφοδρά.

79b) Sic, ſed ex correctione, πλήθους. Paullo ante, loco ſecundo γὰρ, malim γε.

80) Cod. καθίσαντα. Paullo poſt, λεβίτιον.

81) De utraque ariſtolochia v. Dioscor. 3, 5. 6. p. 173.

82) Sulphur vivum. v. Plin. H. N. 35, 15. Cels. 5, 1. 3. Geopon. p. 857. 953. Dioscor. 5, 124. 374.

83) Dioscor. 1, 128. p. 64.

κένον. βέλτιον δὲ, εἰ ναυτικὸν εἴη, θαλασσοβραχές. 84) καὶ παρακελέυεσθαι τῷ ἀνθρώπῳ διὰ τοῦ ϛόματος τὸν καπνὸν ἕλκειν πρoθύμως. πολλοὶ γὰρ φλέγμα εκβάλλουσι τοῦτο δράσαντες.

aut ligna Perficae arboris, aut funiculum derafum impones: in genere melior eft nauticus, qui mari fuerit madefactus. homini poftea imperandum eft, ut ore patulo fumum promte attrahat. multi enim, hoc confecto, pituitam excreverunt.

Κ Ε Φ. ιγ.

Περὶ ἐῤῥίνων. Ἐκ τοῦ αὐτοῦ λόγου.

Τοῖς ἐῤῥίνοις χρώμεθα οὕτως. ἐντίθεται κάλαμος λεπτὸς εὐθύτρητος, εἰς τὸν μυκτῆρα ἐμβῆναι δυνάμενος, μῆκος ἔχων δακτύλων ἕξ. πληροῦται δὲ ἡ τοῦ καλάμου εὐρυχωρία πᾶσα τοῦ φαρμάκου. ἔϛω δὲ ὁ κάλαμος φυσικὸς ἢ χαλκοῦς. ἐμβιβασθέντος δὲ αὐτοῦ, ἐμφύσωμεν 85) κατὰ τὸ ἕτερον πέρας, ἢ ἐμβάλλωμεν τὸ φάρμακον εἰς τὸν μυξωτῆρα. 86) τῶν δὲ ἐντιθεμένων ἐϛὶν ἀπόιλιαν, 87) κυκλαμίνου χυλὸς, ἢ σεῦτλον, ἢ ἐλατήριον λεῖον, κεδραία, 88) καὶ ὅσα ἐϛὶ τῆς ὁμοίας ὕλης.

De iis, quae per nares caput purgant. Ex eodem libro Anthylli. Cap. 13.

Iis, quae per nares caput evacuant, utimur ad hunc modum. calamus tenuis per rectum perforatus, qui in nares indi poffit, quique fit fex digitorum longitudinis, in nares imponitur: tum capacitas tota medicamento implerur. efto autem calamus, aut naturalis, aut aeneus. eo igitur naribus admoto, ex altera extremitate infufflando medicamentum in nares propellimus. quae imponuntur, funt haec: * apoelium, fuccus cyclamini, aut betae, aut elaterium tritum, cedraea, et quaecunque hujufmodi funt materiae.

Κ Ε Φ. ιδ.

Περὶ ἀποδακρυτικῶν. Ἐκ τοῦ αὐτοῦ λόγου.

Ὀλίγη χρῆσις ἐϛι τῶν ἀποδακρυτικῶν. 89) χρώμεθα γὰρ ἐπὶ μόνων ὀμμάτων, χρονίως ἐξηραμμένων, ἐπί τε ψωρωδῶν βλεφάρων, ἐπὶ

Ex eodem, de iis, quae per lachrymas purgant. Cap. 14.

Eorum, quae lachrymas cient, exiguus eft ufus. ad oculos enim, diuturno morbo exficcatos, duntaxat, itemque

84) Laudatur, ἀρτιβρεχὴς (fic,) ex βρέχω. Sed hoc per βραχὲς defenditur. Alia funt ex eodem compofita, ut διάβροχος.
85) Aut ἐμφυσῶμεν, aut, ἐμφυσήσωμεν. Mox Codex: ἢ (sic) ἐμβάλλομεν.
86) Habet Pollux lib. II. p. 192. Sext. Empir. p. 26. et alii.
87) Stellula hoc notavit Rasarius, et ad litteram fervavit *apoelium*, quod ignoro. Aliud eft ἀμύλιον. v. indicem.
88) Forte, κεδρία. Frotian. p. 33. κεδρίνῳ ἐλαίῳ· τῇ κεδρίᾳ. Ceterum de medicamentis ἐῤῥίνοις nota funt etiam vocabula ῥινεγχυσία, ῥινεγχυτεῖσθαι, ῥινεγχύτης, quae apud Dioscoridem recordor legere. Ifta tamen loca nunc non poteram reperire.
89) Galen. de comp. pharm. fec. loc. lib. 4. junctim de his memorat ἀποδακρυτικά, ἀποκρουστικά et ἐρρoκολλύρια. Vide Bernard ad Theoph. Nonnum p. 214. Loco proximi γὰρ, malim δέ.

τε ἀτροφίας περὶ τὰ ὄμματα, πρὸς τὸ διϋγρᾶναι τοὺς ὀφθαλμοὺς, ἢ ὕλην ἐπ' αὐτοὺς ἀγαγεῖν, δι' ἧς εὐτροφήσουσιν. ἔστι δὲ ἀποδακρυτικὰ, τὰ δριμέα τῶν 90) κολλυρίων, τὰ δὲ δι' ὀσφρήσεως κινοῦντα δάκρυα, οἷον σίνηπι, κρόμμυον, σιλφίου ὀπός. τὸν γὰρ καπνὸν παραιτητέον, μειζόνως βλάπτοντα ἢ ὠφελοῦντα.

palpebras scabie oppressas, et, cum oculi non nutriuntur, utimur: ut oculos humore perfundamus, aut materiam ad eos adducamus, qua probe alantur. Lachrymas autem provocant collyria, quae acria sunt: quae vero odoratu lachrymas proritant, sunt, veluti sinapi, caepe, et silphii liquor. Fumus vero, quippe qui magis laedat, quam juvet, evitandus est.

Κ Ε Φ. ιε.

Περὶ διουρητικῶν. Ἐκ τοῦ αὐτοῦ λόγου.

Τῶν διουρητικῶν ἡ χρῆσις φυλακτέα ἐστὶ ἐπὶ τῶν μαραινομένων ἢ κατεσκληκότων. ἱκανῶς γὰρ διοχλεῖ τοὺς τοιούτους. τῶν δὲ διουρητικῶν, τὰ μὲν διὰ στόματος λαμβάνεται πότημα, 92) τὰ δὲ τῇ βαλάνῳ 93) προσάγεται. χρώμεθα δὲ μάλιστα τούτοις, ἐπειδὰν 94) ὑπερπληθεῖσα ἡ κύστις, καὶ διὰ τοῦτο μὴ δυναμένη περιστέλλεσθαι καὶ κενοῦν τὸ οὖρον. ἐντίθεμεν δὲ εἰς τὴν βάλανον νίτρον ὕδατι διειμένον, 95) ἅλμην, ἁλὸς ἄνθος, χολὴν, κυκλάμινον, κόρην, 96) τὸ ζῶον.

Ex eodem, de iis, quae per urinam inaniunt. Cap. 15.

Urinam moventium usus cavendus est in tabescentibus, aut macie confectis: quandoquidem eos valde perturbat. ex iis vero, quae urinam cient, alia sumuntur ore potui data; alia glandi colis imponuntur. his vero potissimum utimur, cum vesica expleta est, et idcirco contrahi, et vacuare urinam non potest. in glandem vero priapi nitrum aqua resolutum, itemque muriam, salis florem, fel, cyclaminum, et corem, animal, indimus.

Κ Ε Φ. ιϛ.

Περὶ αἱμαγωγῶν. Ἐκ τοῦ αὐτοῦ λόγου.

Χρώμεθα τοῖς αἱμαγωγοῖς ἐπὶ γυναικῶν ἐν ἐποχῇ καθάρσεως. ἔστι δὲ ἀγωγὰ τά τε διου-

De iis, quae sanguinem educunt. Ex eodem libro. Cap. 16.

Utimur iis, quae sanguinem educunt, in mulieribus, quibus menstruae

90) Scribitur κολλύριον et κολλούριον. Monui ea de re in prima mea N. Testamenti Graeci editione ad Apocal. 3, 18. pag. 42.
91) ἐπὶ solum in margine. Recte tamen.
92) Forte, ποτήματα aut πότιμα.
93) Id est, τῷ τοῦ καυλοῦ ἄκρῳ.
94) Deest hic verbum finitum, aut post κύστις, omisso καὶ, legendum δύνηται.
95) Cod. διημένον.
96) Immo κόριν. Κόραι enim non inseruntur βαλάνοις, sed βάλανοι inseruntur κόραις νεογάμοις, legitime, *post*, interdum credo etiam, *ante* benedictionem sacerdotalem. Addidit autem, τὸ ζῶον, quod herba etiam est ejusdem nominis. v. Dioscor. 3, 174. p. 243. Περὶ κόρεων vide Geopon. p. 962. seqq. et Nonnum cap. 43. 56.

ρητικὰ πάντα, καὶ ὅσα θερμαίνει, μὴ μετὰ ξηρότητος, ἀλλὰ μετὰ δριμύτητος. ἐν τούτοις 97) κράμβης ῥίζα ἑψωμένη, πινομένου τοῦ ἀφεψήματος, καὶ μάλιστα τῆς ἀγρίας, καὶ ἔτι μᾶλλον, ἡ τῆς θαλασσίας λεγομένης, καὶ ῥίζα περσέας 98), καὶ ἐλελίσφακος, 99) καὶ πήγανον, καὶ ἀμάραντον ἢ χρυσάνθεμον, καὶ δίκταμνον, καὶ εὐζώμου 100) σπέρμα. κινεῖ δὲ καὶ τὰ πρόσεθα, προσβαλλόμενα τῷ στόματι τῆς ὑστέρας, ὥσπερ, πήγανον λεῖον κατ᾽ ἰδίαν, ἢ μετὰ ἁλῶν, ἢ μετὰ μέλιτος, ἢ ἀνήθου τῆς ῥίζης κεκαυμένης, ἢ σποδιὰ μετὰ μέλιτος, πράσου χυλὸς, ἄγλης 1) προστιθεμένη, σμύρνα λεία ἐν οἴνῳ, ἄμωμον, λαγωοῦ πητύα. 2)

purgationes fuppreffae funt. fanguinem vero educunt ea, quae urinam provocant omnia, et quaecunque non cum ficcitate, fed cum acrimonia calfaciunt. inter haec numeratur braffïcae radix decocta, cujus decoctum potui detur, et praecipue agreftis braffïcae, et magis etiam ejus, quae marina vocatur: perfeae radix, itemque faluia, ruta, amaranthum, chryfanthemon, dictamnum, erucae femen. provocant etiam, quae adhibentur extrinfecus, cum ori vuluae admoventur, ut ruta trita, per fe, vel cum fale, vel cum melle: vel cinis radicis anethi cum melle: porri fuccus, alliorum capita admota, myrrha trita ex vino, amomum, et denique leporis coagulum.

ΚΕΦ. ιζ.

Περὶ ἱδρωτικῶν. Ἐκ τοῦ αὐτοῦ λόγου.

Τοῖς ἱδρωτικοῖς χρώμεθα, ἢ ὑπὲρ τοῦ ξηρότητα ἐπιφανείας ἀνεῖναι, γινομένην, 3) ἢ πυρετοῖς, καὶ μάλιστα μαρασμώδεσιν, 4) ἢ ὑπὲρ 5) τῶν κνισμῶν καὶ ὀδαξισμῶν, ἰσχυρῶς ἐνοχλούντων, ἀπαλλάξαι, ἢ 6) ἐναλίψεσιν, με-

De iis, quae fudorem provocant. Ex eodem libro. Cap. 17.

Sudorem moventibus utimur, vel, ut ficcitatem minuamus, quae in fumma cute a febribus, et praecipue tabidis, inducta fuerit: vel, ut pruritus et commorfiones vehementer vexantes amoveamus: vel, in reficiendo poft longum

97) De tribus his generibus vide Dioscor. 2, 146. 147. 148. pag. 137. 138.

98) Dioscor. 1, 187. p. 88.

99) Dioscor. 3, 40. p. 189. ubi tamen eft, τὸ ἐλελίσφακον. Masculino et neutro genere occurrit.

100) Dioscor. 2, 170. p. 346.

1) Ultima fyllaba in προστιθεμένη eft ex correctione. Rasarius videtur cogitasse de ἄγλιθες προστιθέμεναι.

2) Codex: πυτία.

3) Loco ἢ, malim ἐπί.

4) Vide Alexand Trall. lib. VI. cap. 4. Aët. lib. 5. cap. 92.

5) Malim τοῦ, ac refero ad ἀπαλλάξαι.

6) Sine fensu. Corrigendum: ἢ ἐν ἀναλήψεσι. Aegroti enim dicuntur ἀναλαμβάνειν ἑαυτοὺς, eoque fensu dicitur etiam ἀνάληψις. Sed hoc notum eft

τὰ νόσον μακρὰν, κατεσκληκυίας τῆς ἐπιφανείας. χρώμεθα δὲ καὶ ἐπὶ ἀτροφίαις καὶ 7) ἐπὶ παρέσεσι, καὶ ἐπὶ ἀπεψίᾳ, καὶ 8) ὑδροπίᾳ, τῇ κατὰ 9) σάρκα, καὶ ἐφ' ὧν ἐπανάστασις γίνεται περὶ τὴν ἐπιφάνειαν, σχετικῆς προηγησαμένης, ἤτοι διαφθορᾶς, ἢ βρώματος δριμύτητος. ἔστι δὲ τῶν 10) ἱδρωτικῶν, χαμαίμηλον, ξηρὸν, λεῖον, ἐπιπασσόμενον ἐλαίῳ, τῆς ἐπιφανείας εὐτόνως ἀνατριβομένης· σέσελι 11) Μασσαλιωτικὸν, πύρεθρον, κάγχρυ, ἄνισον, ὁμοίως ἐμπασσόμενον ἐλαίῳ, νίτρον ὀπτὸν, μὴ πάνυ λεπτὸν, ἀλλὰ κριμνῶδες, σὺν τῷ ἐλαίῳ, ἁλὸς ἄνθος συγκιρνώμενον ἐλαίῳ, ὀπὸς Κυρηναϊκὸς σὺν ὕδατι διειμένος, εἰς ἀνάτριψιν τοῦ σώματος παραλαμβανόμενος, καὶ πινόμενος, μέγεθος, ὅσον ἐρεβίνθου.

morbum corpore, ubi ſumma cutis exaruit. Utimur pari modo eiſdem, ubi corpus ex alimento fructum nullum fert, et in corporis extenuatione, et in cruditate, et hydrope, qui ἀνὰ σάρκα nominatur, et in quibus eruptio aliqua in ſumma cute excitatur, cum aut corruptio praeceſſiſſet, aut cibi acrimonia. Sudorem autem provocant haec: chamaemelum ſiccum tritum, oleo inſperſum, et ſummae cuti valide confricatum: ſeſeli Maſſilienſe, pyrethrum, cachry, aniſum, ſimiliter oleo inſperſum, nitrum toſtum, non nimis tenue, ſed craſſiuſculum cum oleo: ſalis flos oleo temperatus: liquor Cyrenaicus aqua dilutus, corpori infricatus, et ad ciceris magnitudinem epotus.

Κ Ε Φ. κβ.

Ἐκ τῶν Διοκλέους. Ἐμετικά.

Τῶν ἐμετικῶν δὲ καλουμένων, τὰ μὲν φαρμακώδη καὶ δραστικώτερα λίαν, οὐδὲ 12) δεῖ προσίεσθαι· χρῆσθαι δὲ τοῖς οἰκείοις μάλιστα τῆς συνήθους διαίτης. εἴη δὲ ἂν τῶν τοιούτων, τὸ ἀπόβρεγμα τῶν σικυῶν, τῶν ἁπαλῶν, κατατμηθέντων εἰς ὕδωρ, 12) ᾧ κεράννυμεν τὸ πινό-

Ex Diocle. De iis, quae ad vomitum valent. Cap. 22.

Ex iis, quae vomitum provocant, quae medicamenti vim habent, quaeque efficacia ſunt, non debent adhiberi: utendum vero eſt familiaribus, et praeſertim, quae conſuetae victus rationis ſunt. hujuſmodi erit dilutum cucumerum tenerorum et in fruſta ſecto-

---

7) Sic correxi. Codex: παραίτεσιν. Miror, cur non adeo ſcripſerit, παραινέσεσιν. Hoc ſaltem Graecum erat.

8) Hoc nec graecum eſt. Sed nec ὑδρωπία recordor legere. Ὑδρώπισις occurrit et ὑδρωπισία. Erotian. p. 49.

9) Plura enim genera ſunt. Quae hic memoratur, ab Hippocrate appellatur, ὑποσαρκίδιος.

10) Ita correxi. In Codex: δριμύτητός ἐστι τῶν ἱδρωτικῶν. χαμαίμηλον. κ. τ. λ. quae eſt perverſa diſtinctio.

11) Dioscor. 3, 60. p. 199. μασσαλεωτικόν. Tamen μασσαλιῶται vocantur.

12) Ab δεῖ ad δὲ in margine leguntur ſolum, ab alia manu.

μενον μετὰ τὸ δεῖπνον χλιαρὸν, 13) ησφαινου τοῦ αἰώδους ἀφεψήματος τὸ ὕδωρ πινόμενον ὡσαύτως, ἢ ἄλευρον καθαρὸν, μὴ λίαν 14) κάθεφθον μετὰ μέλιτος ῥοφούμενον, καὶ πρὸ τοῦ δείπνου, καὶ μετὰ τὸ δεῖπνον, ἢ σκόρδα 15) ὀπτὰ μετὰ μέλιτος ἐσθιόμενα, ἢ σίσαμα 16) πεφρυγμένα καὶ τετριμμένα μελικράτου τρισὶν ἡμικοτυλίοις διακεχυμένα. πάντα δὲ τὰ τοιαῦτα χλιαρὰ καὶ πυκνῶς δεῖ λαμβάνειν. ῥᾷτα δ' ἄν τις καθήμενος ἐμοῖ, ἢ ὀρθός. δεῖ δὲ μὴ βιάζεσθαι, προθυμούμενον πάντα ἐξεμεῖν ἀκριβῶς, ἀλλ', ὅταν κενωθῇ τὶς ἱκανῶς, ἐᾷν, μηδὲ ἐπιπίνειν μεταξὺ μηδὲν, ἢ 17) μικρὸν, ὀξηρὸν δὲ, ἐμούμενον, ὕδωρ χλιαρὸν ἐπιπίνειν. μετὰ δὲ τὸν ἔμετον, τὸ δοκοῦν εὔλογον εἶναι, καθάπερ ἀγγεῖον διανίψαι τὴν κοιλίαν, πιόντα μελίκρατον, ἢ ὕδωρ πολὺ, καὶ πάλιν ἐμέσαι, ἢ 18) μὴ προσίεσθαι. προχεάμενος δὲ πρὸς τὸ πρόσωπον ὕδωρ, καὶ τὸ στόμα διακλυσάμενος οἴνῳ ἀκράτῳ χλιαρῷ τρισὶ κυάθοις ἀνακογχυλιάζεσθαι κατὰ μικρόν.

holca imponitur. his omnibus in ramenta diductis, orbes fiunt.

Hiera Iufti.

Colocynthidis interioris denarii 24. ftoechados, chamaedryos, piperis albi, piperis nigri, agarici, veratri nigri, fcammoneae, fingulorum denarii 13. ammoniaci, thymi, croci, euphorbii, fingulorum denarii 8: myrrhae denarii 4: fcillae toftae denarii 16. Aliqui addunt cafiae denarios 4, et fpicae nardi denarios 8. mellisquod fatis fit.

Epithema vomitum ciens.

Veratri albi denarii 8. piperis denarii 4. fellis taurini, quantum ad excipiendum fatis fit, admoveto.

Medicamentum, quod odoratui admotum per aluum purgat.

Fellis terreftris echini, melanthii, aut nitri, utriufque denarii 101. fucci thapfiae denarii 4. grani Cnidii denarii 3. elaterii denarius. levigantur inftar cerati oleo Sicyonio, aut Cyprino admifto: fiuntque orbes unius denarii. horum unum odorabitur is, qui purgandus eft, si bene concoxit. hoc autem admodum debilitabit: fed aliquo unguento odorato vires poftea recreabuntur.

63) Vide Aristoph. Equitt. v. 1168. 1169. τορύνην. Ergo, συντορυνηθέντος.

64) De hoc v. Fabric. bibl. gr. Vol. XIII. p. 306.

65) De hoc dubito. Forte, ἐπικλύσει.

66) ἡμέρᾳ.

BIBΛΙΟΝ Θ. ΚΕΦ. γ.

Ἐκ τῶν Ἀντύλλου. Περὶ τῆς κατὰ μῆνα τῶν ἀέρων διαφορᾶς. Ἐκ τοῦ α. λόγου τῶν ἔξωθεν προσπιπτόντων βοηθημάτων.

Ἐργάζεται 67) δὲ διαφορὰ ἐν τῷ ἀέρι παραπλησίως τῷ ἡλίῳ καὶ ἡ σελήνη περιϊοῦσα τὸν τῶν ζωδίων κύκλον. ἐργάζεται δὲ καὶ αὐτὴ τέσσαρας ὥρας μηνιαίας, ἀναλογούσας ταῖς ἐτησίαις, ἑβδομαδικῷ δὲ ἀριθμῷ περικυκλουμένας. ἡ μὲν οὖν πρώτη τοῦ μηνὸς ἑβδομὰς, ἀρχὴν μὲν ἀπὸ νουμηνίας ἔχει, πρόεισι δὲ μέχρι διχοτόμου. ἔςι δὲ ἐοικυῖα. ὑγρὰ γὰρ καὶ θερμὴ ἡ σελήνη ἡ ἐντεῦθεν, καὶ τὸ περιέχον ἐν τῷ καιρῷ τῷδε ὑγρότατον, καὶ 68) τηνικαῦτα ὡς ἐπίπαν καταῤῥιγνύνται, 69) καὶ οὗτοί γε ὑγροὶ καὶ γονιμώτατοι, παραπλησίως τοῖς ἐαρινοῖς. ἡ δὲ δευτέρα ἑβδομὰς, ἄρχεται μὲν ἀπὸ διχοτομίας, πόεισι δὲ μέχρι πανσελήνου, θέρει δὲ παράπλήσιος διὰ τοῦτο, ὅτι καρποὺς πέσσει μάλιςα. ἥ γε μὴν μετὰ πανσέληνον ἑβδομὰς μέχρι διχοτόμου, φθινούσης τῆς σελήνης, ξηρὰ καὶ μετοπώρῳ παραπλήσιος. ἡ δὲ τελευταία χειμῶνι ἔοικεν. ὅσα οὖν αἱ τοῦ ἐνιαυτοῦ ὧραι ἐπιφέρουσι, τοσαῦτα καὶ παρὰ τῶν μηνιαίων ἡγητέον ἀπαντᾷν. ἐκεῖνο δὲ προσδιαληπτέον, ὅτι ὁ μὲν ἥλιος κατὰ τὴν ἑαυτοῦ δύναμιν θερμαίνει τὰ σώματα· ἡ σελήνη δὲ μᾶλλον ὑγραίνει. παρὰ ταύτην οὖν τὴν αἰτίαν τούς τε ἐγκεφάλους

Ex Antyllo. De aëris differentia, quae in menfe eft. Ex primo libro, qui eft de praesidiis extrinfecus incidentibus.

Lib. IX. Cap. 3.

Luna, quae aeque ac fol Zodiacum perluftrat orbem, differentiam in aëre creat. Facit enim quatuor tempora menfis, quae anni partibus proportione rofpondent, atque hebdomadibus diftinguntur. prima igitur menfis hebdomas a novilunio ducit initium, et ufque dum luna duas in partes aequaliter diuifa apparet, progreditur: efique veri fimilis: cum luna humida, calidaque fit eo tempore: et aër nos ambiens eo tempore humidiffimus et calidiffimus. ac tunc quidem humores plerumque ruunt et foecundi funt, non fecus, quam vere. fecunda autem hebdomas tunc incipit, cum luna in duas partes aequaliter fecta eft, et ad plenilunium ufque procedit: eaque aeftati fimilis eft, ob hanc unam caufam, quod fructus concoquit vel maxime. Hebdomas vero, quae plenilunium fequitur, cum luna ufque minuitur, donec duas in partes fit aequaliter fecta, ficca eft, atque autumno eft fimilis. ultima vero hyemi comparatur. quot igitur anni tempora feruntur, tot etiam menftrua effe tempora exiftimandum eft. Il-

67) v. fcriptores astronomicos Cleomed. etc. edit. Basil. 1585. 8. p. 255. 265. 271. Mox verf. 12. poft ἐοικυῖα addiderim ἔαρι.

68) Hic fpatium vacuum est octo fere litterarum. Duplex autem in margine conjectura proponitur. Altera: ἴσως οἱ ἄνθρωποι. Eam alius interposita linea damnavit. De fuo autem alteram adscripsit, θερμότατον.

69) Ita Codex. Forte: καταῤῥήγνυνται. Dici hoc de imbre, grandine, et aliis ejus generis, notum eft. Rasarius excogitavit, *humores*. Forte ὄμβροι voluit. Sed ita ὑγροὶ abfurdum. Forte συχνοί.

ἀεὶ ὑγροτέρους ἀποτελεῖ, καὶ τὰ κρέα σήπει, καὶ τὰ σώματα τῶν ἐν αἰθρίᾳ διαγόντων ὑγρότερα καὶ ἀμβλύτερα ἀπεργάζεται, καὶ καρηβαρίας καὶ ἐπιληψίας ἀνακινεῖ κατὰ τὴν ὁμοίαν αἰτίαν.

Κ Ε Φ. δ.

Περὶ 70) τῆς καθ' ἡμέραν διαφορᾶς τῶν ἀέρων. Τοῦ αὐτοῦ. Ἐκ τοῦ αὐτοῦ λόγου.

Τὴν ἡμέραν λαμβάνομεν μετὰ τῆς νυκτός· ἀναλογίαν δὲ 71) ἣν ταύτην φαμὲν ἔχειν πρὸς τὸν ἐνιαυτόν. 72) ἔστι δὲ ὁ μὲν ὄρθρος ὑγρὸς ἣ θερμὸς, ἔαρι παραπλήσιος. διὰ τοῦτο οἵτε ὕπνοι εὐκρινεῖς, καὶ τὰ σώματα ἀνεῖται, καὶ τὰ τῶν ὑγιαινόντων, καὶ 73) τὰ τῶν νοσούντων. ὥστε ἣ τοῖς πυρέσσουσιν εὐφορώτατον εἶναι τόνδε τὸν καιρόν. καὶ γὰρ ἀναθυμιάσεις ἀνιᾶσι περὶ τὸν ὄρθρον, καὶ αὖραι ποταμῶν ἀποπνέουσιν ὑγραὶ, καὶ δρόσος ἐπιπίπτει. 74) τὰ δὲ μέσα τῆς ἡμέρας, θέρει παρείκασται. τὰ δὲ κατὰ τὴν δείλην, φθινοπώρῳ. 75) τῆς δὲ νυκτὸς τὰ μὲν πρῶτα, καὶ 76) περὶ τὴν ἑσπέραν, ὅμοια τῇ

lud quoque est animaduertendum, solem sua vi corpora calefacere, lunam potius humectare. quod in causa est, ut luna humidius semper cerebrum reddat, et carnes putres faciat: corporaque eorum, qui sub dio vivunt, humidiora et obtusiora efficiat, eademque causa capitis gravitates, morbosque comitiales gignat.

Ex eodem libro ejusdem. De aëris differentia, quae in diei partibus est. Cap. 4.

Diem una cum nocte modo intelligimus, eumque anno similem esse pronunciamus. matutinum enim tempus humidum, calidumque est, veri simile. quam ob rem somni puri et corpora tam sanorum, quam aegrotantium recreantur. ex quo fit, ut febricitantes hac hora placidissime degant. nam exhalationes mane dissoluuntur, et humidae fluminum aurae respirant, et ros cadit. meridies autem aestati comparatur: pars vero, quae ad occasum pertinet, autumno. noctis vero pars prima, et quae circa vesperam est, occasui similis est. eo tempore neque somnum ae-

70) Ad marginem hujus capitis a recentiore scriptum est: *vide apud Stobaeum sermonem* 99. Ex eodem Stobaeo notantur etiam correctiones et supplementa. Ad manus habeo editionem Heeren, Viri Eruditissimi. Goettingae 1792. — 1801. 8. quae satis copiosis instructa est indicibus. Nullibi tamen Antylli mentionem factam esse deprehendi, tametsi studiose quaesierim. Fabricius tamen in bibl. gr. Vol. VIII. p. 697. 698. ex edit. Stobaei Gesneriana. Tig. 1559. quinque loca ex Antyllo notat. p. 549. 550. 646. 547. 550. Tria ultima loca inscribuntur: *de discrimine aëris.*

71) αὐτὴν, loco, καὶ ταύτην, ex Stobaeo.

72) Hic ex Stob. in marg. additur: καθάπερ ἐν τῇ β. τῶν ἐπιδημιῶν Ἱπποκράτης ἐπεσημήνατο.

73) καὶ τὰ, ex Stob. In textu, κατά.

74) Post haec in marg. ex Stobaeo: ἄνθη ἀναβαίνει καὶ πάντα τὰ ἐκ γῆς φυόμενα ἀνίησιν, ἔαρι τῆς στάσεως τῆς ὀρθρινῆς ἐοικυίας. Forte, καταστάσεως.

75) Rursus ex Stob. in margine: διὰ τοῦτο βαρῶν καὶ δυσαρεστημάτων οἰστικὰ, νοσερὸς οὔσης τῆς δείλης, ἀνάλογον φθινοπώρῳ. Credo, haec supplementa accessisse a sapientia Stobaei.

76) Stob. interponit τά. Mox ex eodem notatur, ὕπνοῦν. Deinde, post κάμνουσιν, interponit: περὶ τήνδε τὴν ὥραν.

δείλῃ. ἐντεῦθεν, οὔτε ὕπνον ἐπιτρέπομεν τοῖς κάμνουσιν, οὔτε ποτὸν προσφέρομεν, οὔτε ἄλλο προσάγομεν βοήθημα, εἰ μή τι ἕτερον προκαλοῖτο, ὑφορώμενοι 77) τὸν καιρὸν τοῦτον, ὥσπερ καὶ τὸν δειλινόν. τὰ δὲ μέσα τῆς νυκτὸς 78) χειμῶνι ἐξείκασται. πλεῖστον γὰρ τότε ὁ ἥλιος, καθάπερ καὶ ἐν χειμῶνι, ἀφέστηκεν ἡμῶν 79) αἵτε οὖν ὀδύναι τοῖς νοσοῦσιν ἰσχυρότεραι τῆς νυκτὸς εἰκότως, διὰ τὴν ψύξιν πυκνουμένης τὴν ἐπιφάνειαν, 80) καὶ ἐπιλαμβανομένης τῆς κατὰ τὸ ἄδηλον διαπνοῆς. καὶ τὰ ῥεύματα δὲ, καὶ τὰ τῶν ὀφθαλμιώντων, καὶ τῶν δυσεντερικῶν, καὶ τῶν κοιλιακῶν, καὶ τὰ αἱματικὰ, 81) ἀπὸ τῆς αὐτῆς προφάσεως ἐπιγίνεται, παντὸς τοῦ εἰωθότος 82) κατὰ τὸ ἀφανὲς, εἰς ἕνα τόπον συνδιδομένων, 83) τῶν ῥευματιζομένων. τὰ δὲ τελευταῖα τῆς νυκτὸς, διὰ τὴν πρὸς τὸν ὄρθρον γειτνίασιν τῆς αὐτῆς κράσεως ἐκείνῳ μεταλαμβάνει.

Κ Ε Φ. ε.

Ἐκ τῶν Ἀθηναίου. Περὶ ἀέρος. Ἐκ τοῦ κθ. λόγου.

Διαφέρει δὲ καὶ ὁ ἡλιούμενος ἀὴρ τοῦ ἀνηλίου καὶ σκιεροῦ, καὶ ὁ μεθ' ἡμέρας τοῦ νύκτωρ. ὁ μὲν γὰρ ἡλιούμενος, θερμότερός τε ἐστὶ καὶ λεπτότερος· ὁ δὲ σκιερὸς, παχύτερος.

grotis suademus, neque potum damus, neque ullum aliud auxilium adhibemus, nisi quid aliud admoneat: quod facimus veluti illud tempus aeque ac tempus occasus. mediae noctis tempus hyemi comparatum eſt: ſiquidem tum sol plurimum a nobis, ut hybernis diebus, diſtat. ergo dolores nocturno tempore vehementiores ſunt: idque merito, cum nox ſuo frigore extremam cutim denſet, et perſpirationem, quae clam in corporibus fit, intercipiat, et defluxiones, tum eorum, qui lippitudine laborant, tum eorum, quos tormina inteſtinorum exercent, tum eorum, qui coeliaci nominantur, tum eorum, quibus ſanguis fluit, ab hac eadem cauſa promoventur: cum ii, qui defluxionibus correpti ſunt, id totum, quod clam ferri conſuevit, unum in locum amandent. Ultima noctis pars propterea, quod matutino tempori propinqua eſt, ejuſdem cum eo temperamenti eſt particeps.

Athenaei. De aëre. Ex libro 29. Cap. 5.

Aër a ſole illuſtratus ab eo differt, quem ſol non vidit, et umbroſus eſt: itemque diuturnus a nocturno. nam quem ſol perluſtravit, calidior eſt et tenuior: umbroſus vero, craſſior. ſimi-

77) Sic correxi. In textu vitiose ὑφωρώμενοι. Ex Stob. notatur, ὑποφώμενοι. Sic.

78) In textu: χειμῶν. Ex Stob χειμῶνι. Sic.

79) In textu: ἡμῖν.

80) Codex: τῆς ἐπιφανείας. Sed iſtud quoque ferri poteſt, si τῆς νυκτὸς reddatur *noctu*. Mox, loco ἐπιλαμβ. in marg. notatur ἀπο. Mox malim, κατὰ τὰ ἄδηλα. Ita certe ſaepius legi in his ipsis libellis. v. Foes. Oec. Hippocrat. p 96. in διαπνοή, et Gatackerum ad Anton. 3, 1.

81) Ita in marg. correctum. In textu, αἵματι καί.

82) Poſt hoc ex Stob notatur ἀπεῖναι. Forte, ἀπιέναι.

83) In marg. συνδιδομένου τοῦ ῥευματιζομένου. Ex his probo. συνδιδομένου, quod ad παντὸς refertur. Alterum non ſollicito. Nexus eſt: π̃ν τὸ εἰωθὸς ἀπιέναι τῶν (vel ἀπὸ τῶν) ῥευματ.

ὁμοίως δὲ καὶ ὁ φωτεινὸς ἧττον 84) ψυχρὸς, καὶ λεπτός ἐστιν· ὁ δὲ ἀφώτιστος καὶ ζοφερὸς, καὶ ψυχρότερός ἐστι καὶ παχύτερος. ὁ μὲν οὖν θερμότερος καὶ λεπτότερος, εὐδιάπνευστα παρασκευάζει· ὁ δὲ ψυχρὸς καὶ παχὺς τοὐναντίον. διόπερ αἱ νύκτες τοῖς ῥευματιζομένοις καὶ φλεγμαίνουσι, καὶ πυρέσσουσι δυσφορέστεραι. διαφέρει δὲ καὶ, ὁ κατὰ πόλιν ἀὴρ τοῦ κατὰ χώραν. πρῶτον μὲν γὰρ συνέχεται τοῖς οἰκοδομήμασιν ὁ κατὰ πόλιν. διόπερ ὁμοίως τοῖς κοίλοις τόποις θερμότερός ἐστι καὶ παχύτερος. ὅ, τε γὰρ ἥλιος, ἀδιάπνευστον ὄντα τὸν ἀέρα συνεχῶς θερμαίνει καὶ πυροῖ μᾶλλον ἢ, τε ἀκινησία παχύνει, τῆς κινήσεως ὁμοίως τοῖς ῥιπίζουσι λεπτυνούσης ἅμα καὶ ψυχούσης τὸν ἀέρα, παχύνεται δὲ ὁ κατὰ πόλιν ἀὴρ, οὐ μόνον διὰ τὴν ἀκινησίαν συναγόμενος εἰς ἑαυτὸν, ἀλλὰ καὶ τὰ 85) σκιάζεσθαι τὸν πλείονα χρόνον, καὶ πολὺ μᾶλλον, τὰ πολλὰς καὶ παντοδαπὰς ἐκ τῆς πόλεως ῥεῖν εἰς αὐτὸν ἀναθυμιάσεις, καὶ πολὺ μᾶλλον ἐν ταῖς εἰς τέλος ἀδιαπνεύστοις πόλεσιν. ὁ δὲ ἐν ταῖς χώραις ἀὴρ, λεπτὸς ὢν καὶ καθαρὸς, ὀρεκτικωτέρους ἀπεργάζεται πρὸς τροφὰς καὶ εὐπεπτοτέρους, εὐτροφωτέρους τε καὶ εὐρουστέρους καὶ εὐαισθητοτέρους. ὅτι κατὰ μὲν τὴν πόλιν δυσδιαφόρητα μένει καὶ πλήρη τὰ σώματα, πάντοθεν κατειλημμένου τοῦ ἀέρος, ἅμα καὶ τῷ πλήθει τῶν οἰκιῶν, καὶ τῇ τῶν

lique modo lucidus, minus frigidus eſt et tenuis: tenebricoſus vero et obſcurus frigidior eſt et craſſior. ergo, qui calidior, tenuiorque eſt, corpora facile perſpirantia reddit: contra facit qui frigidus, craſſuſque eſt. ex quo fit, ut noctes ſint iis, qui ex defluxione laborant, et iis, qui inflammatione vexantur, et febricitantibus, moleſtiſſimae. differt etiam aër, qui unius civitatis ſit, ab aëre regionis. in primis enim aër civitatis a domibus coarctatur, quocirca non ſecus, quam in cavis locis, calidior eſt et craſſior. ſol enim aërem, qui non perſpiratur, continuo calefacit, et magis accendit: at motus vacuitas craſſum reddit: cum motus aeque, ac ii, qui follibus perflant, aërem attenuet et ſiccet. Caeterum aër, qui civitate continetur, craſſus fit, non ſolum, qui in ſeſe cogatur ex eo, quod nullo motu cieatur, ſed eo etiam, quod multo tempore in umbra ſit: et multo magis, quod plurimae, atque omnis generis exhalationes ex urbe in aërem ipſum prodeant et fluant: et id quoque multo magis in iis urbibus, quae perſpirationibus omnino vacant. qui vero in regione eſt aër, cum tenuis purusque ſit, facit, ut cibi appetentiores ſimus, et melius etiam concoquamus, et melius alamur, et meatus magis fluxiles ſint, et ſenſus nobis ſint integriores. cauſa eſt, quia aër civitatis, cum undique ſit concluſus, tum a multitudine domorum, tum a tectis ſuperimpoſitis, corpora facit, quibus ſucci difficulter digerantur,

84) Ita in marg. In textu ἴσον.

85) Sic dedi, loco τόν. Sic et mox correxi τόν, in iſto, τῷ πολλάς.

τυχῶν 86) περιθέσει· ἐπὶ δὲ τῆς χώρας αἴθριος ὤν, ἀνειμένως καὶ λεληθότως τὸ περιττεῦον ἐκκρίνων, κοῦφόν τε καὶ εὔπνουν καὶ ἕτοιμον κατασκευάζει πρὸς τὴν τῆς τροφῆς λῆψιν.

ΚΕΦ. θ.

Ἀντύλλου. Περὶ ἀνέμων. Ἐκ τοῦ α. λόγου τοῦ περὶ βοηθημάτων.

Ἡ τῶν ἀέρων κίνησις, ἄνεμός ἐστιν. ἀνέμων δὲ διαφοραὶ δύο. οἱ μὲν γὰρ αὐτῶν καθολικοί· οἱ δὲ τοπικοί εἰσιν. τοπικοὶ μὲν, οἱ ἐγχώριοι· καθολικοὶ δὲ, οἱ πανταχοῦ τῶν αὐτῶν ὀνομάτων ἀξιούμενοι. καὶ οἱ μὲν τοπικοὶ τῶν ἀνέμων παραπλήσιοι τοῖς τόποις εἰσὶν, ἀφ' ὧν πνέουσιν. οἱ μὲν γὰρ ἀπὸ ὑγιεινῶν χωρίων, ὑγιεινοί· οἱ δὲ ἀπὸ νοσερῶν, νοσεροί. κατὰ μέρος δὲ, οἱ μὲν ἀπὸ γῆς, ξηρότεροι· οἱ δὲ ἀπὸ ὑδάτων, ὑγρότεροι. καὶ οἱ μὲν ἀπὸ θαλάσσης, ὑγιεινοὶ μάλιστα, χειμῶνος καὶ ἔαρος· θέρους δὲ θερμότεροι τοῦ δέοντος· οἱ δὲ ἀπὸ ποταμῶν, ὑγρότεροί τε τούτων, καὶ χειμῶνος, κακίους· θέρους δὲ, βελτίους. οἱ δὲ ἀπὸ λιμνῶν, ἀμφοτέρων ἀτοπώτεροι, κάκιστοι. οἱ δὲ ἀπὸ τελμάτων, καὶ οὐδὲ κατὰ μίαν ὥραν ἀγαθοί. οἱ δὲ ἀπὸ πεδίων καὶ γῆς εὐπνόου, βελτίους. τὸ δὲ οὖν ὅλον, πάντες οἱ τοπικοὶ τῶν καθολικῶν νοσερώτεροι· οἱ δὲ βοῤῥαῖοι, ὑγιεινότατοι. οἱ δὲ ζέφυροι, πνέοντες ἀπὸ δυσμῶν, ὑγροί τε καὶ προσηνεῖς· ὑγιεινοὶ μὲν ἧσσον, ἢ ὁ βοῤῥᾶς. ἡμεῖς 87) δὲ καὶ οἰκεῖοι τῷ σώματι πάντων μᾶλλον.

eaque replet. at, qui in regione est, cum late pateat, et sub dio fit, remisse et dissolute id, quod superfluit, excernens, et leve, et probe perspirans, et promtum ad sumendos cibos corpus reddit.

Antylli de ventis. Ex primo libro de auxiliis. Cap. 9.

Ventus est aëris motus. ventorum duae sunt differentiae. alii universales sunt, alii locorum proprii. qui locis tribuuntur, sunt, qui regionibus conveniunt: universales, qui ubique locorum eodem nomine et vocabulo gaudent. qui ad loca pertinent, naturam sequuntur locorum, a quibus efflantur. qui a salubribus, salubres: qui a morbosis, morbosi sunt. pro parte vero, qui a terra spirant, ficciores: qui ab aquis, humidiores. qui a mari prodeunt, salubres sunt, maxime hyeme et vere: aestate vero calidiores sunt, quam par fit. quos flumina mittunt, his humidiores sunt, hyeme deteriores, aestate meliores. qui e stagnis exhalant, utrisque absurdiores. pessimi vero judicantur, qui e paludibus exeunt: neque ullo tempore sunt boni. qui a campis et terra perspirata, meliores. ad summam igitur, qui locorum sunt, magis morbosi, quam universales, censentur. caeterum boreales saluberrimi. Zephyri ab occidente flantes, humidi sunt et lenes: minus tamen, quam boreas, salubres. corpori autem magis, quam alii, sunt apti, atque accommodati. pravi

86) Aut τοίχων, aut τεχῶν legendum.
87) Corrigo, ὅμως.

φαῦλοι δὲ εἰσι πρὸς ὑγείαν καὶ ἀπὸ τῆς ἀνατολῆς εὖροι.

autem et adversi valetudini sunt Euri, qui ab ortu solis spirant.

ΚΕΦ. ια.

Ἀντύλλου. 88) Περὶ τόπων. Ἐκ τοῦ α. λόγου τοῦ περὶ βοηθημάτων.

Οἱ ὑψηλοὶ τῶν τόπων ὑγιεινότατοι, τοῦ ἀέρος ἐν αὐτοῖς οὐ μένοντος, ἀλλὰ περιχεομένου, καὶ ὑπὸ τῶν ἀνέμων συνεχῶς ἀπωθουμένου. εὔπνοοί τε δὴ, καὶ διαθέσεσι ταῖς περὶ θώρακα πάσαις ἐπιτήδειοι. 89) λεπτοὶ, καὶ κεφαλῇ πεπονθυίᾳ, καὶ τοῖς αἰσθητηρίοις ἅπασιν ἐπιτήδειοι. οἱ δὲ ταπεινοὶ τοῖς προειρημένοις ἀνάρμοστοι· διαφορουμένοις δὲ, καὶ συγκοπτομένοις ἐπιτήδειοι, καὶ γέρουσιν. 90) οἱ δὲ παραθαλάττιοι τόποι τοῖσδε ὑδρωπικοῖς, 91) καὶ τοῖς ὑπὸ ῥεύματος οὑτινοσοῦν ἐνοχλουμένοις, ἁρμόδιοι, καὶ ὅπου διαμύξαι, ἢ θάλψαι ἢ ἀναστομῶσαι. 92) ἀγαθοὶ δὲ καὶ νευρικοῖς καὶ ἀρθριτικοῖς πᾶσιν· ἐπιτήδειοι δὲ καὶ ὀρέξεσι κεκακωμέναις. οἱ δὲ μεσόγαιοι ψυχρότεροι τῶν παραθαλαττίων· καὶ πρὸς μὲν τὰ ὀξέα νοσήματα, ἐὰν μήτε ἀμπελώδεις 93) ὦσι, μήτε κοῖλοι, κρείττους τῶν παραθαλαττίων. πρὸς δὲ τὰ χρόνια, χείρους. οἱ δὲ ἑλώδεις, κακοὶ μὲν ἀεί. θέρους δὲ, καὶ λοιμώδεις. 94) κακοὶ δὲ καὶ

Antylli de locis. Ex primo libro de auxiliis. Cap. 11.

Loca sublimia saluberrima sunt, cum aër in eis non sit permanens, sed perfundatur, et a ventis continenter exagitetur. cumque recte perspirentur, omnibus thoracis affectionibus erunt accommodata. tenuia vero et capiti laboranti, et omnibus sensuum instrumentis convenient. at loca humilia ante dictis non sunt idonea. iis vero, qui per halitum digeruntur, qui in syncopas cadunt, et senibus, apta sunt. loca vero maritima hydropicis, et quibus quaevis defluxio molesta est, accommodata sunt: itemque, ubi detergendum, aut calfaciendum, aut aperiendum est, conueniunt. sed prosunt etiam omnibus iis, qui nervorum et articulorum doloribus torquentur. Iam depravatis quoque appetitibus prosunt. Mediterranea vero sunt maritimis frigidiora, caeterum ad morbos acutos, si neque vitibus consita, neque cava fuerint, sunt maritimis accommodatiora: sed ad morbos diuturnos ineptiora. stagnatia cum semper sunt in vitio: tum vero etiam aestate sunt pestilentia. praeterea, quae metallis propinqua sunt, mala itidem existimantur.

88) Huic capiti rursus adscriptae diversae lectiones ex Stobaei, ut hic notatur, sermone 99.
89) λεπτοὶ notatur deesse apud Stobaeum. Item, quod paullo post legitur, ἐπιτήδειοι.
90) Hic in marg. additur ex Stob. δὲ ἁρμόζουσι μᾶλλον τῶν ὑψηλῶν.
91) καὶ τοῖς notatur deesse apud Stob
92) Nimirum, δεῖ, χρὴ, δέον.
93) ἑλώδεις. Stobaeus.
94) Hic in margine est: *Hoc loco multa desunt, quae apud Stobaeum sunt.*

οἱ πρὸς μετάλλοις. ξηροὶ 95) δὲ καὶ πνιγώδεις. οἱ δὲ καθύγειοι, 96) εὔχυμοι ὄντες, ταῖς ξηροτέραις ἁρμόζουσι διαθέσεσιν. οἱ δὲ ἀργιλώδεις, διαλυτικοὶ τοῦ 97) τόνου, ἔκλυτον ἔχοντες τὴν ἀναθυμίασιν· οἱ δὲ πυρόγειοι, 98) ξηραντικώτεροι τούτων· οἱ δὲ μελάγγειοι τόποι, πάντων ἄριστοι.

siquidem sicca sunt et suffocantia. quae vero sub terra sunt, si boni succi fuerint, siccioribus affectionibus apta censentur. argillosa vero, robur dissoluunt, cum exhalationem habeant, in qua exsoluendi vis inest. russa maiore exsiccandi vi, quam quae nunc diximus, sunt praedita. nigra vero omnibus bonitate longe praestant.

Κ Ε Φ. ιβ.

Ἐκ τῶν Ἀθηναίου. Περὶ τόπων. Ἐκ τοῦ α. λόγου.

Οἱ μὲν ὑψηλοὶ τῶν τόπων εἰσὶ ψυχρότεροι καὶ εὐπνεύστεροι· ψυχρότεροι μὲν, διὰ τὸ ἀπὸ ὀλίγου τοῦ ἐπιπέδου ὀλίγας ἔχειν τὰς ἀπὸ τοῦ ἡλίου ἀντανακλάσεις· εὔπνοοι δὲ, διὰ τὸ πανταχόθεν ἐξανεῶχθαι, καὶ μηδὲν ἔχειν τὸ ἐπιπροσθοῦν τοῖς πνεύμασι. διόπερ ὑγιεινῶς τὰ πολλὰ διάγουσιν οἱ κατοικοῦντες ἐν αὐτοῖς. χειμῶνος δὲ αὐτοῖς τὰ διὰ τὸ ψύχος γινόμενα μᾶλλον συναντᾷ πάθη. οἱ δὲ ταπεινοὶ, ἧσσόν εἰσιν ὑγιεινοὶ, διὰ τὴν θερμότητα, καὶ μάλιστα τοῦ θέρους, καὶ διὰ τὸ ἧσσον διαπνεῖσθαι, ταπεινοτέρας τῆς χώρας ὑπαρχούσης. εἰ δὲ καὶ ὄρεσιν ὑψηλοῖς τε περιέχοιντο, πολὺ μᾶλλον ταῖς ἀπὸ τῶν καιομένων ὡρῶν ἀντανακλάσεσι πυρώδης ὁ ἐν αὐτοῖς ἀὴρ γίνεται. ἡ δὲ κατάφυτος χώρα τῆς ψιλῆς ἧσσόν ἐστιν εὔπνους καὶ

Ex Athenaei libro primo de loco, Cap. 12.

Sublimia loca frigidiora sunt, et facilioris perspirationis. frigidiora vero ideo, quod a planitiei exiguitate paucas radiorum solis reflexiones habeant; facilius autem perspirantur, quia undique sunt aperta, nec quicquam sit, quod ventos repellat. ex quo fit, ut, qui in eis degunt, plerumque sani vivant, hyeme tamen in morbos, quos frigus excitat, magis incidunt. loca vero humilia non ita salubria sunt. in causa est calor; et praefertim aestivo tempore; atque etiam, quia minus perflantur, cum humilior sit regio. quodsi altis quoque montibus sint inclusa, eorum aer multo magis feruidus ab adurentium temporum reflexionibus reddetur. Praeterea regio plantis consita, minus perflatur, minusque a sole lustratur, quam nuda; quocirca per hyemem umbrosa

---

95) γὰρ, loco δέ. Stob.

96) βαθύγειοι. Stob. Istud nihili est. Aliud est κατάγειοι, quod mox occurrit cap. 13, nota 8

97) σομίχου. Stob.

98) Ita correctum, loco πυῤῥόγειοι. De πυρὸς et πυῤῥὸς alibi ex Codicibus monui. Saepe enim legitur πυρὸς, loco πυῤῥὸς in Codicibus satis accurate scriptis.

εὐήλιος. διόπερ καὶ χειμῶνός ἐστι σκιερὰ καὶ ψυχρὰ, καὶ θέρεος δυσήνεμος καὶ πνιγώδης. διόπερ τὴν διαπνοὴν τοῖς ἐνδιατρίβουσι φαυλοτέραν παρασκευάζει. ὅσαι δὲ τῶν χωρῶν καὶ τῶν πόλεων ἐπεισάκτους ἔχουσι ποταμοὺς ἔξωθεν, συμμέτρων ὄντων αὐτῶν, καὶ μάλιστα, ἐὰν ξηρότατοι τυγχάνωσιν, ὄντως 99) οἱ τόποι εὐκρατότατοι γίνονται· πλεοναζόντων δὲ αὐτῶν, οὐ μικρὰ συνέργεια συμβαίνει πρὸς 100) τὰς νόσους γίνεσθαι. ὅ, τε γὰρ ἀὴρ ὑγραίνεται, καὶ συνυγραίνει διά τε τῆς ἀναπνοῆς καὶ τῆς διαπνοῆς τὰ σώματα, καὶ τὰς ἑώας καὶ τὰς δειλινὰς ψυχροτέρας δεχόμενος τας ἀπὸ τῶν ὑδάτων ἀπορροίας, περιψύχει τὰ σώματα, καὶ φθινοπωρινὴν κατάστασιν ἐν τῷ θέρει παρέχεται. οἱ δὲ ἑλώδεις τῶν τόπων καὶ λίμνας ἐν ἑαυτοῖς ἔχοντες, διὰ πολλὰς αἰτίας εἰσὶ νοσεροί. ἀπὸ γὰρ τῶν λιμνῶν πᾶσα ἡ παρακειμένη χώρα βρεχομένη καθυγραίνεται· καὶ πρῶτον μὲν οἱ ἐν αὐτῇ καρποὶ νοσεροὶ τυγχάνουσιν ὄντες, ἅτε διὰ τὴν ὑγρότητα μὴ 1) κατακρατούμενοι, μήτε τὴν ἁρμόζουσαν πέψιν λαμβάνοντες καὶ ὁ ἀὴρ δὲ ἐν τοῖς τοιούτοις τόποις ὑγρός ἐστι καὶ παχύς· τῶν τε ἑλῶν παντοδαπὰς σήψεις λαμβανόντων, ἡ ἀπὸ τούτων ἀναθυμίασις, οὐ μόνον παχὺν, ἀλλὰ καὶ μοχθηρὸν κατασκευάζεται τὸν ἀέρα. αἱ 2) δὲ κάθυγροι τὰ πολλὰ καὶ σύνδενδροι τυγχάνουσιν οὖσαι· αἱ δὲ πεπυκνωμέ-

est ac frigida: per aestatem vero difficulter a ventis perflatur, suffocansque est: et ob eam ipsam caussam respirationem habitantibus deteriorem parat. Quaecunque autem regiones et civitates flumina habent, quae extrinsecus perducuntur, cum ipsa moderata sint, et praesertim, si loca siccissima esse contingat, fiunt temperatissima. si vero excedant, non parua fit ad morbos gignendos accessio. quandoquidem et aër humectatur, et respirando, atque inspirando, corpora simul humectat. tum etiam matutinas ac vespertinas aquarum defluxiones frigidiores excipiens corpora perfrigerat, et in aestate constitutionem affert autumni. stagnantia vero loca, in quibus paludes sunt, multis de caussis sunt morbosa. nam a stagnis tota adiacens regio madefacta supra modum humectatur. atque in primis qui in ea fructus proveniunt, morbosi sunt omnes, cum prae humiditate suam temperiem non sint sortiti, nec ad idoneam maturitatem peruenerint. aër vero in hisce locis, humidus, crassusque est. cumque stagna corruptelarum omne genus suscipiant, exhalatio, quae ab eis manat, aërem non solum crassum, sed etiam pravum reddit. ad hoc accedit etiam, ut perhumidae regiones, plerumque arboribus sint refertae: quaeque densis arboribus obsidentur, difficulter perflantur. Praeterea regiones, quae salsae sunt, ac suapte natura perhumidae, et cavae, mor-

99) In marg. ὄντες. Ita ad priora refertur.
100) Forte interponendum τό.
1) Hoc, mihi quidem, alienum videtur. Forte, κατακεκραμένοι, aut, κατακρατυνόμενοι.
2) Intelligo, χῶραι.

καὶ τοῖς δένδρεσι δυσκόλως διαπνέονται. πρὸς δὲ τοῖς εἰρημένοις, ἀλικμάζουσαι 3) χῶραι, καὶ φύσει κάθυγροι, καὶ κοῖλαι, ἐπίνοσοι τυγχάνουσιν, οὐ μόνον διὰ τὰ ὕδατα, καὶ τοὺς ἀέρας· ταῦτα γὰρ οἱ πολλοὶ μᾶλλον αἰτιῶνται· ἀλλὰ καὶ διὰ τὰς τροφὰς, ὑγροτέρας τε καὶ ψυχροτέρας ὑπαρχούσας· περὶ ὧν οὐδεὶς οὐδένα λόγον πεποίηται. οὐ μὴν ἀλλ', ἐπεὶ καὶ κοῖλοι τοὐπίπαν εἰσὶν οἱ τοιοῦτοι τῶν τόπων, οὐ μόνον ἀδιάπνευστοι καὶ παχεῖς, διὰ τὴν ταπεινότητα, πρόσγε 4) καὶ διακαεῖς κατὰ τὸ θέρος εἰσίν. ὁ γὰρ αὐτὸς ἀὴρ, ἐπιμένων ἐπιπλεῖον, θερμαίνεται ἀπὸ τῶν ὑπερκειμένων τόπων, ἀντανακλάσεσι τοῦ ἡλίου, καὶ μάλιστα, ἐὰν ὑψηλοὶ τυγχάνωσιν ὄντες οἱ τόποι, περισσότερον διακαίουσι τὸν ἀέρα. πρὸς δὲ τοῖς εἰρημένοις, ἐπινοσωτέρους οἰόμεθα τοὺς λιμνάζοντας καὶ ἑλώδεις τόπους, καὶ μάλιστα τοῦ θέρους, διὰ τὴν ἀνωμαλίαν τοῦ ἀέρος. αἱ μὲν γὰρ ἑωθιναὶ 5) περιψύχουσι ταῖς ἀπὸ τῶν ἑλῶν αὔραις τοὺς ἐνοικοῦντας· αἱ δὲ μεσημβριναὶ 6) θερμαίνουσιν· εἶτα αἱ δειλιναὶ περιψύχουσι. διὰ δὲ τὴν ἀνωμαλίαν τῆς ψύξεως καὶ τῆς θερμότητος, καὶ τὸ μετόπωρον νοσερὸν πέφυκεν. αἱ δὲ ἄνυδροι καὶ ξηραὶ χῶραι συναναξηραίνουσι τὰς ἕξεις, καὶ εὐπνουστέρας καὶ καθαρωτέρας παρασκευάζουσιν. οὐ μόνον δὲ ὁ ἀὴρ, ξηρὸς ὢν, ξηροτέρας ἀποτελεῖ τὰς ἕξεις, ἀλλὰ καὶ αἱ

bosae sunt, id quod eis inest, non solum propter aquas, et aërem, quanquam plerique haec in causa potius esse volunt: sed etiam, propter alimenta humidiora frigidioraque, de quibus nemo verbum ullum fecit. veruntamen, quoniam cava loca ejusmodi sunt fere, non modo non perflantur, verum et crassa sunt, propter humiditatem, et aestate aestuosa. etenim idem aër permanens a locis adiacentibus solis reflexione nimis calefit: ac praesertim, si sublimia sint loca, aërem plus aequo aestuosum reddunt. Iam vero morbosiora loca esse censemus stagnantia atque palustria: et praecipue per aestatem, ob aëris inaequalitatem. matutinae enim aurae, a stagnis manantes, refrigerant eos, qui inhabitant: meridianae vero calfaciunt, tum vespertinae perfrigerant. et propter caloris, frigorisque inaequalitatem autumnus morbosus est. Regiones porro aquis vacantes et siccae, habitus simul exsiccant, et melius spirantes, ac puriores faciunt. atque aër quidem siccus non modo sicciores habitus facit, sed etiam, si alimenta calidiora, siccioraque fuerint, facile conficientur, facileque distribuentur, et naturas calidiores, purioresque constituent. Loca etiam mediterranea a maritimis differunt: quoniam maritima omnia humiliora, calidioraque mediterraneis sunt. idcirco pleraque ex maritimis salubriora sunt, sicciores que habent re-

3) Lego: αἱ ἰκμάζουσαι aut λιμνάζουσαι.

4) Malim, πρὸς δὲ καί.

5) Ex proximo ἄυραις intelligo, ἄυραι.

6) Monstrum vocabuli est in Codice: μεσχυβριναί.

τροφαὶ θερμαντικώτεραι καὶ ξηρότεραι τυγχάνουσιν, εὐκατέργαστοί εἰσι καὶ εὐδιαιτικοὶ, 7) καὶ τὰς ἕξεις θερμοτέρας καὶ καθαρωτέρας παρασκευάζουσι. διαφέρουσι δὲ καὶ οἱ μεσόγειοι τόποι τῶν παραθαλασσίων. πάντες γὰρ οἱ παραθαλάσσιοι ταπεινότεροί εἰσι, καὶ θερμότεροι τῶν μεσογείων. διὸ καὶ πολλοὶ τῶν παραθαλασσίων ὑγιεινότεροί εἰσιν οἱ ἀναπεπταμένοι καὶ ξηροτέρας ἔχοντες μᾶλλον τὰς χώρας, ἢ καθύγρους καὶ διόμβρους. ὅθεν αἱ νῆσοι ὑγιεινότεραί εἰσι, καὶ τοὺς καρποὺς φέρουσι διαφορωτέρους. μεγάλη δὲ ἐστι διαφορὰ τῶν τόπων, καὶ παρὰ τὴν ποιότητα τῆς χώρας. ὑγιεινότεροι γάρ εἰσιν οἱ ὀρεινοὶ, καὶ τῶν διασήμων οἱ ξηρότεροι. αἵ τε γὰρ ἀναθυμιάσεις ἐκ τῆς γῆς λεπταί εἰσι καὶ ξηραί. διόπερ ὁ ἐν αὐτοῖς ἀὴρ οὐχὶ μόνον προσδίδωσι τοῖς σώμασιν, ἀλλὰ καὶ τοὐναντίον κενοῖ τὶ ἐξ αὐτῶν, διὰ τὴν ξηρότητα· τά τε ὕδατα, ἐὰν μή τις ἄλλη κακία περὶ τὴν γῆν ὑπάρχῃ, λεπτὰ ὄντα καὶ καθαρὰ, κουφότερά ἐστιν, οἵ τε καρποὶ βελτίους πρὸς ὑγείαν, ἐκ καθαρωτέρας καὶ λεπτοτέρας ὕλης γεγονότες, καὶ πεπεμμένοι κατὰ λόγον.

ΚΕΦ. ιγ.

Περὶ οἴκου. Ἐκ τῶν Ἀντύλλου. Ἐκ τοῦ α. λόγου, τοῦ περὶ βοηθημάτων.

Τοῖς μὲν ὀξέως νοσοῦσιν, οἱ κατάγειοι 8) τῶν οἴκων ἐπιτήδειοι, καὶ μάλιστα καυσουμένοις τὲ καὶ 9) συγκοπτομένοις. καὶ γὰρ εὐψυχέστεροι τῶν ὑπερῴων, καὶ συνέχουσι τὴν δύναμιν. ἐπιτήδειοι δὲ καὶ τοῖς αἷμα ἀνάγουσι, καὶ τοῖς

giones potius, quam humidas, et imbribus irriguas. quae res facit, ut insulae saluberrimae sint, et excellentiores fructus ferant. In locis quoque magna differentia ex qualitate regionis versatur. nam montana salubriora sunt, et inter insignia, que ficciora sunt. etenim exhalationes ab humo elatae, tenues ficcaeque sunt. quare aër, qui ab eis excitatur, tantum abest, ut aliquid addat corporibus, ut contra etiam, aliquid ab eis evocet, et propter ficcitatem evacuet. Aquae, si nullo alio vitio terra sit imbuta, tenues cum sint, puraeque, sunt leviores: fructus ad bonam valetudinem accommodatiores, multo puriorem, tenuioremque materiam gignunt: et rite sunt concocti.

Antylli. Ex primo libro de auxiliis. De domo. Cap. 13.

Domus, quae ad terram sunt, cum febricitantibus, tum vel maxime iis, qui ardenti febri iactantur, quique in syncopen cadunt, accommodatae sunt: quandoquidem sunt apte frigidiores, quam sublimia tabulata: et vires aegro-

7) Corrigendum: εὐδιοίκητοι, quod in his ipsis libellis ac saepenumero de alimentis apud medicos occurrit. Contrarium est δυσδιοίκητος. Vide utrumque in indice. Mox vers. 7. malim πολὺ, loco πολλοί.

8) Habet Plato p. 435. 441. Cinnam. p. 187.

9) Supra jam hoc lectum est. De morbo, quae Graecis συγκοπὴ dicitur, exponunt Galen. de caus. sympt. lib. 3. cap. 2. Aretaeus περὶ ὀξ. παθ. lib. 2 cap. 3. Paul. Aegin. lib. 3. cap. 34.

ὑπὸ κεφαλαίας ἐνοχλουμένοις. οἱ δὲ ὑπερῷοι, τοῖς ἐν θώρακι φλέγμα συνειλεγμένον ἔχουσι, καὶ ὅλως, σώματι πολυύλῳ 10) ἐπιτηδειότεροι οἱ μεγάλοι τῶν οἴκων, καὶ ὅπου τὶς σκορπίσαι δεῖ. ἀγαθὴν δὲ δύναμιν δαπανῶσι διὰ τὸ πλῆθος τοῦ ἐν αὐτοῖς ἀέρος, ἐξαρπάζοντες τρόπον τινὰ τῶν σωμάτων αὐτήν. οἱ δὲ μικροὶ τἀναντία δρῶσι. καὶ οἱ μὲν ὑψηλοὶ εὔπνοιάν τε ἐργάζονται, κεφαλὴν κουφίζουσι, μάλιστα ἐν πυρετῷ κεκακωμένῳ. οἱ δὲ ταπεινοὶ, ὅλως ἄθετοι. καὶ οἱ μὲν μεσημβρινοὶ πρὸς πᾶσαν διάθεσιν ἐπιτήδειοι, πλήν γε πρὸς 11) τὰ ψύξεως δεόμενα. πρὸς δὲ ταῦτα οἱ ἀρκτικοὶ βελτίους. δευτέραν δὲ χώραν ἔχουσιν, οἱ ἀνατολικοί· κάκιστοι δὲ οἱ δυτικοὶ, καὶ μάλιστα θέρους. τοῦ γὰρ ὄρθρου, ἐν ᾧ μάλιστα κούφως διάγουσιν οἱ νοσοῦντες, σκυθρωπὸν ἔχουσι τὸ φῶς, καὶ τὰς δειλινὰς ὥρας καὶ τὰς νύκτας 12) πληγώδεις. οἱ δὲ κεκονιαμένοι στιλπνῷ κονιάματι πληκτικοὶ καὶ ἀπηνεῖς. ἔτι δὲ ἀπηνέστεροι οἱ ἀλιθοκόλλητοι, 13) οἱ δὲ ἐκ λι-

tantium ſuſtinent et continent. Conueniunt eaedam iis, qui ſanguinem reiiciunt, et qui capitis dolore vexantur. tabulata vero ſuperiora apta ſunt iis, qui pituitam in thorace collegerunt. ad ſummam, corpori, quod multae materiae fit, magnae domus ſunt idoneae. valent enim ad diſcutiendam materiam, et integram vim, probamque facultatem, quam corpora quodammodo rapiunt, propter aëris copiam impertiuntur. paruae domus horum contraria efficiunt. ſublimes vero reſpirationis facilitatem gignunt, caput levant, ac praeſertim, quod ex febri vitium contraxerit. humiles omnino improbantur. quae ad meridiem ſitae ſunt, ad omnem affectionem ſunt accommodatae, praeterquam ad eas, quibus refrigeratione opus eſt: ad quas aptiores ſunt aquilonales. ſecundo loco cenſentur, quae ad orientem ſolem ſpectant: peſſimae, quae ad occidentem: et praeſertim aeſtate. habent enim lucem matutini temporis, in quo maxime aegrotantes ſunt meliuſculi, triſtem et inamoenam: et veſpertinas horas atque nocturnas cum moleſtia traducunt. Quae calce oblitae ſunt, ſplendore calcis ſenſum tentant, injucundaeque ſunt. ſed ſunt etiam injucundiores, quae ſine lapidibus ſunt coagmentatae.

---

10) Hoc ſuperius lectum, niſi nunc Rufum Epheſium eum his libellis confundo. Habet etiam ſcholiaſtá Hermogenis p. 354. edit. Aldin. 1509.

11) Quod neutro genere dixit, intelligo πάθη.

12) Intellige ἔχουσι. πληγώδεις nihil notat. Conjicio ergo πνιγώδεις, quod quin de locis et domiciliis recte dicatur, nemo dubitabit. Mox tamen, et pag. 236. est πληκτικοί. Pag. 199. est πλαδῶδες.

13) Eſt hoc contrarium τοῦ λιθοκόλλητος, quod frequenter occurrit.

θαν δεδωμημένοι, ἀπηνέστεροί τε καὶ ψυχρότεραι τῶν πλινθίνων. οἱ δὲ γεγραμμένοι, πυρεκτικοῖς ἢ παρακοπτικοῖς ἀθετώτατοι, φαντασίας ἐγείροντες ἀλλοκότους. οἱ δὲ λεπτὴν ἔχοντες τὴν περιβολὴν τῶν τοίχων, φαῦλοι. εὐμετάβολος γὰρ ὁ ἐν αὐτοῖς ἀὴρ, ῥᾳδίως συντρεπόμενος τῷ ἔξωθεν περιέχοντι.

Κ Ε Φ. ιδ.

Περὶ στρωμνῆς. Ἐκ τοῦ αὐτοῦ λόγου.

Αἱ ἐπὶ κλίνης κατακλίσεις ἀμείνους εἰσὶ τῶν ἐπὶ στιβάδος· αἱ δὲ ἐπὶ στιβάδων βελτίους τῶν ἐπὶ γῆς. ἀπηνέστεραι μὲν γὰρ τῶν ἐπὶ κλίνης αὗται. αἱ δὲ ἐπὶ τῆς γῆς πρὸς τῇ ἀπηνείᾳ, καὶ ἀτμίδος τῆς ἀνιούσης κάτωθεν ἐμπιπλᾶσι τὸ σῶμα. πάλιν τῶν ἐπὶ κλίνης, αἱ μὲν 14) ἐπιταπεινοὺς ἔχουσαι τοὺς πόδας, συμπληρωτικαὶ, σύνεγγυς ἔχουσαι τὴν γῆθεν ἀναθυμίασιν· αἱ δὲ ἐπὶ ὑψηλόποδος, φόβου σφόδρα ποιητικαὶ, καὶ δόκησιν τοῦ κρεμᾶσθαι παρέχουσαι. βελτίους δὲ αἱ μέσον ἔχουσαι τὸ ὕψος. ἄθετοι δὲ καὶ αἱ μικραὶ τῶν κλινῶν. ἄσης γὰρ ἐμποιητικαί· καὶ ὑπερμεγέθεις, τοῦ 15) μὴ ἀτρεμεῖν, ἀλλὰ πλανᾶσθαι τῷ νοσοῦντι, καὶ τόπον ἀμείβειν ἐκ τόπου, κόπου παραίτιοι καθιστάμεναι· καὶ κραδαινόμεναι δὲ, ἢ ὁπωσοῦν κινούμεναι, τῶν ἑδραίων χείρους. τόνος δὲ τῆς κλίνης κατὰ τὸν αὐτὸν λόγον ἰσχυρῶς τε καὶ ἀνένδοτος τυγχανέτω, καὶ ἡ στρωμνὴ, μήτε ὀλίγη, μήτε σκληρά. κόπτει γὰρ καὶ περιθλᾷ τὰ σώματα. μήτε οὖν βαθεία πάλιν,

Caeterum, quae ex lapidibus constructae sunt, mitiores et frigidiores, quam quae ex lateribus, censentur. quae sunt picturis distinctae atque ornatae, febricitatibus et insanientibus omnino improbantur: quippe quae absurda visa excitent. quarum parietes tenues sunt atque exiles, pravae sunt: quandoquidem aër, qui in eis est, facile ab externo aëre commutatus, faciles mutationes capit.

De strato. Cap. 14.

Decubitus, qui in lectica fiunt, praestant iis, qui in paleis, foliis, et gramine: qui in paleis, foliis, et gramine, iis, qui in terra sed haec duo genera sunt injucundiora, quam in lectica recubare: ipse vero decubibus in terra, praeterquam quod injucundus est, vapore etiam, qui inferne ascendit, implet corpus. Praeterea lecticae, quae pedes humiles habent, corpus replent, cum exhalationem, quae ex terra manat, propinquam habeant. quae vero sublimibus pedibus nituntur, timoris vehementis sunt plenae: et speciem faciunt, quasi pensiles sint. sunt ergo laudabiliores, quae mediocrem habent altitudinem. quin parvae quoque lecticae damnantur. molestiam enim afferunt. itemque nimis magnae, quia non eodem in statu aegrotantes quiescunt, sed errando et locum ex loco commutando lassitudine capiuntur. quae vero quatiuntur, aut quoquo modo moventur, sunt firmis deteriores, ob eandem

14) ἐπιταπεινὸς non recordor legere. Forte, ὑπερταπεινοὺς, aut, ἐπιδαπέτους, aut, ἐπὶ ταπεινοῦ.

15) Conjicio: τῷ μὴ, et mox, τὸν νοσοῦντα Mox vers. 27 malim ἰσχυρός.

ἢ ὑπὲρ τὸ δέον 16) ταλάβη. πρὸς γὰρ τὴν εὐκολίαν τοῦ στρέφεσθαι ἡ τοιάδε ἄθετος. εἰ δὲ ἀνάῤῥοπος σφόδρα, κόπου ποιητικὴ, ἐοικυῖα καθεδρίου σχήματι. τοῖς δὲ περὶ κεφαλὴν, 17) οὐκ ἀνάρμοστος· ἡ δὲ κατάῤῥοπος, γυναικῶν ῥεύμασιν ὠφέλιμος. ἡ λαμπρὰ κατὰ τὴν χροιὰν, συμπληρωτικὴ καὶ πληκτικὴ, καὶ ἡ περιέργως ἀνθοβαφής. ἡ δὲ ποικίλη καὶ ἐνυφάσματα ἔχουσα ζώων, ἤ τινα τῶν τοιούτων, ἐν τοῖς ὀξέσι νοσήμασι, ῥέμβου τῇ διανοίᾳ καὶ ταραχῆς αἰτία γίνεται. καὶ ἡ ῥυπαρὰ δὲ ἀνεπιτήδειος. ἥτε γὰρ πρώτη κατάκλισις ἐπ' αὐτῆς ψυχρὰ, καὶ ἡ διατριβὴ, ἡ ἐπ' αὐτῆς, μᾶλλον θερμοτέρα τοῦ προσήκοντος γίνεται.

que rationem funes contenti ſint, neque quicquam ſe remittant: ſintque ſtrata, nec pauca, nec dura: quia laſſant et concutiunt corpus atque conſtringunt. ne ſint etiam profundiora, quam ut, quae opus ſunt, capiant. quibus hoc accedit incommodi, ut ne quis ſe vergere queat. Quae vero ſurſum repunt ac vergunt, vehementem laſſitudinem gignunt: ſimiliaque ſunt figurae cathedrae cujuſdam. ac iis, quae ad caput pertinent, minime ſitus ille incommodus eſt: qui vero ſitus deorſum repunt, muliebribus defluxibus conveniunt. quae ſtrata ſplendidi coloris ſunt, implent, et ſenſus feriunt. idem faciunt, quae accurate ſunt tincta. quae varia ſunt, et animalium figuris diſtincta, in morbis acutis in cauſa ſunt, ut mens vacillet ac peturbetur. quae ſordida ſunt, cum primus decubitus in eis ſit frigidus, et, ſi quis in eis diutius moretur, calidiora, quam par ſit, evadant, ideo minime conveniunt.

Κ Ε Φ. ιε.

Ἐκ τῶν 18) Σαβίνου. Περὶ χωρίων κράσεως.

Τῶν παρακειμένων τοῖς χωρίοις, τὰ μέν ἐστιν ὕπτια· τὰ δὲ ἀναστήματα. 19) τὰ μὲν οὖν ὕπτια πάντα, κατὰ μεσημβρίαν μὲν περικείμενα, θερμότερον τῶν χωρίων ποιεῖ τὸ κατάστημα· μᾶλλον μὲν, τὰ μείζω· ἧττον δὲ, τὰ ἥττω· καὶ

Ex Sabino. De temperie regionum. Cap. 15.

Quae regionibus adiacent, alia deorſum vergunt, alia ſurſum. quae deorſum vergunt omnia, ad meridiem ſita, faciunt regionis ſtatum calidiorem. ac maiora quidem magis, minora vero minus. quaeque magis aequalia, tenuia-

---

16) Hoc ignoro. Ultimum η ex correctione eſt. Ante erat α, ut credo. Conjicio interim δολιχή, i. e. Vide hic pag. 247. nota 66. μακρά. Vers. 11. dubito de ῥυπαρά. Forte, ἐξ ἐρίων ῥυπαρῶν.

17) Forte excidit, πάθεσιν. Raſarius videtur intellexiſſe, μέρεσιν.

18) De eo v. Fabric. bibl. gr. Vol. VIII. p. 386.

19) ἀνάστημα tam de locis editis dicitur, quam de excelſo animo. Origenes priori ſenſu conjungit ἀνάστημα, ἄρμα, et ὕψος, eique opponit ταπεινός. v. T. I. p. 182. III, 778. v. Longin. pag. 34.

τὰ ὁμαλώτερα καὶ λεπτότερα μᾶλλον τῶν τοιούτων. τὰ δὲ ἀναστήματα, ψυχρότερον, οὕτω παρακείμενα, ποιεῖ τὸν ἀέρα. ἀρκτικώτερα δὲ τὰ μὲν ἀναστήματα θερμαίνει· τὰ δὲ ὕπτια ψύχει τὸ κατάστημα. κατὰ ἀνατολὰς δὲ, ἢ δύσεις παρακείμενα, καὶ τὰ ὕπτια, καὶ τὰ ἀναστήματα ἧττον θερμαίνει καὶ ψύχει, τῶν πρὸς ἄρκτον καὶ μεσημβρίαν κειμένων. πάντα δὲ καὶ θερμαίνοντα καὶ ψύχοντα, τοῖς μὲν ὑγιεινῶς παράκειται χωρίοις, τοῖς δὲ οὔ. τοῖς μὲν γὰρ ἐν θερμοτέρῳ κλήματι κειμένοις, ψύχοντα μὲν, ὑγιεινά· θερμαίνοντα δὲ, οὐχ ὑγιεινά· τοῖς δὲ ἐν ψυχροτέρῳ, θερμαίνοντα μὲν, ὑγιεινά· ψύχοντα, δὲ, οὐχ ὑγιεινά. τίνα δὲ τῶν χωρίων θερμότερον ἔχει, καὶ τίνα ψυχρότερον, ῥηθήσεται. τὸ κατὰ μεσημβρίαν τῆς γῆς μέρος, πλησίον τοῦ 20) ἀοικήτου, θερμότατόν ἐστι καὶ ξηρότατον τῶν οἰκουμένων· οἰκοῦσι δὲ ἐν αὐτῷ αἰθίοπες· τὸ δὲ κατὰ τὰς ἄρκτους τῆς γῆς μέρος, ψυχρότατόν ἐστι καὶ ὑγρότατον. τοῦτο 21) τὸ οἰκούμενον σκύθαι ἔχουσι. ταῦτα περαίνει τὴν ἡμετέραν οἰκουμένην· τὸ 22) δὲ μεταξὺ σκυθῶν καὶ αἰθιόπων, τὰ μὲν τῇ μεσημβρίᾳ προσνεμόμενα χωρία, ἐαρινῇ μὲν ἔοικε κράσει· ξηρότερα δὲ ἐστιν ἐκείνης. τὰ δὲ τῇ ἄρκτῳ, μετοπωρινῇ ἐοικότα κρᾶσει, ὑγρότερα τῆς ὥρας ἐστί. τὰ μὲν οὖν διὰ τὴν σχέσιν τῶν παρακειμένων τοῖς χωρίοις ὑπτίων συμβαίνοντα, ταῦτά ἐστιν. ἔστι δὲ καὶ ἕτερόν τι προστιθέμενον τοῖς χωρίοις, οὐ διὰ τὴν σχέσιν, ἐξ αὐτοῦ δὲ φερό-

que funt, id magis efficiunt: quae furfum vergunt, aërem fitu fuo frigidiorem reddunt. quae vero magis ad feptentrionem vergunt, fublimioraque funt, calefaciunt, fupina vero conftitutionem refrigerant. Quae ad orientem et occidentem folem funt pofita, five fupina, five fublimia fint, minus calfaciunt et frigefaciunt, quam quae ad feptentrionem et meridiem. Omnia porro, et calefacientia, et refrigerantia, regionibus, partim falubriter, partim fecus adiacent. nam iis, quae in calidiore fitae funt climate, quae refrigerant, falubria funt: quaevero calfaciunt, non funt falubria. iis vero, quae in frigidiore funt, calfacientia falubria: refrigerantia, non falubria. dicetur autem, quae calidiores, quaeve frigidiores fint regiones. terrae pars, quae ad meridiem eft propinqua ei, quae non habitabilis eft, calidiffima earum, quae habitantur. eam Aethiopes inhabitant. pars terrae, quae ad urfam eft, frigidiffima, humidiffimaque eft. hanc Scythae incolunt. hae noftrum habitabilem orbem terminant. quae inter Scythas atque Aethiopes interiacet, ejus partis regiones, meridiei attributae, temperamento veris funt fimiles: funt tamen ficciores: quae ad feptentrionem pertinent, autumni temperaturae comparantur. funt tamen humidiora. Quae igitur ex habitu eorum, quae deorfum vergentia funt regionibus adjuncta, eveniunt, haec funt. Eft autem aliud quippiam additum, quod non ex habitu exiftit, fed per fe unicuique eorum, quae

20) Forte, τῆς, nimirum, γῆς.

21) Forte, τοῦτον.

22) Credo, τῶν δέ.

μενον ἑκάςῳ τῶν παρακειμένων. τὸ μὲν οὖν ἐκ τῆς θαλάσσης, καὶ τῶν ἀνύδρων πεδίων, τῶν τε ὀρῶν φερόμενον, καὶ τὸ ἀπὸ τῶν βουνῶν, καὶ τῶν γαιολόφων, ξηρότερον τὸ κατάςημα ποιεῖ· ὑγρότερον δὲ, τὸ ἀπὸ τῶν ποταμῶν, καὶ πάντων ποτίμων ὑδάτων ἀναφερόμενον· τὸ δὲ ἀπὸ τῆς λίμνης, ἢ τῶν ἑλῶν παχύτερον ποιεῖ τὸν ἀέρα. τούτων δὲ, τὰ μὲν ὑγραίνειν δυνάμενα ταῖς ἀποῤῥοίαις, τοῖς ἐν ξηροτέροις κλήμασι χωρίοις παρακείμενα, ὑγιεινότερον ποιεῖ τὸ κατάςημα, ὥσπερ ὁ νεῖλος τῇ αἰγυπτίᾳ· τοῖς δὲ ἐνυγροτέροις, νοσερώτερον. τὰ δὲ ξηρὸν ποιεῖν τὸν ἀέρα δυνάμενα, τοῖς μὲν ὑγροτέροις παρακείμενα, ὠφέλιμα· τοῖς δὲ ξηροτέροις, βλαβερά. τίνα δὲ ὑγρότερα, καὶ τίνα ξηρότερα τῶν χωρίων ἐςὶν, ἐδηλώσαμεν 23) πρότερον.

Κ Ε Φ. ις.

Περὶ τῶν ὑγιεινῶν φυτῶν, καὶ τῶν μὴ τοιούτων.

Τῶν ἐκ γῆς ἀναφυομένων, τὰ μὲν ὑγιεινὰς ἔχει τὰς ἀποῤῥοίας, τὰ δὲ οὐχ ὑγιεινάς. τὰ μὲν οὖν ἐδώδιμον καρπὸν φέροντα, ὑγιεινὰ, καὶ τὰ εὐώδη· οἷον, δάφνη καὶ κυπάριττος· ἢ τῶν ἀνθῶν πάντα, ὅσα εὐώδη. καὶ τὰ τοιαῦτα δὲ τῶν φυομένων, οἷον, ἄνηθον, σέλινα, θύμος, καὶ πάντα, ὅσα λεπτότερον ποιεῖν δύναται τὸν ἀέρα, περιφυόμενα τοῖς οἰκουμένοις χωρίοις. ὅσα δὲ τῶν φυομένων, οὔτε καρπὸν

adiacent, attributum eſt. ergo, quod ex mari, campeſtribus locis, aqua vacantibus, et montibus, itemque tumulis et collibus accedit et affertur, id ſicciorem conſtitutionem reddit: quod vero e fluminibus, et omnibus aquis potui aptis, emanat, humidiorem ſtatum facit. at, quod ex ſtagnis et paludibus affertur, aërem facit craſſiorem. ex his quae adiecta ſunt regionibus, quae in ſicciore climate ſunt conſtituae, ſuis defluxionibus humectare poſſunt, atque ita ſtatum eum ſalubriorem reddunt: quod Nilus Aegypto tribuit. at humidioribus, ſtatum magis morboſum comparant. quae ſiccum efficere aërem poſſunt, ſi humidioribus adjungantur, proderunt: ſi ſiccioribus, nocebunt. caeterum, quaenam regiones humidiores, quaeque ſicciores ſint, prius expoſuimus.

De plantis ſalubribus et non ſalubribus. Cap. 16.

Eorum, quae ex terra naſcuntur, alia ſalubres, alia non ſalubres defluxus habent. quae fructum ferunt, qui edendo eſt, ſalubria ſunt, itemque odorata, ut laurus et cupreſſus, et flores omnes, qui ſuavem odorem ex ſe mittunt, et quae ita etiam odorata naſcuntur, in quorum numerum anethum, apium, thymum, et omnia, quae tenuiorem reddere aërem queunt regionibus, quae habitantur, adiacentia, referuntur. at quaecunque exorta, neque fructum, quo

23) Ita correxi, loco ἐδηδώσαμεν.

ἐδώδιμον φέρει, οὔτε ἐστὶν εὐώδη, οὔτε λεπτυντικὴν ἔχει δύναμιν, οὐχ ὑγιεινὴν τὴν ἀναφορὰν ἔχει. ἔνια δὲ καὶ θανάσιμον, ὥσπερ ἡ τάξος. 24) ταύτῃ γὰρ παρακοιμηθέντες ἀποθνήσκουσιν ἄνθρωποι· οἱ δὲ πλέον ἀπέχοντες, οὐκ ἀποθνήσκουσιν, ὅτι συμμιγὴς γίνεται ἡ ἀπόῤῥοια, ἐπὶ πλέον φερομένη, πλείοσιν ἀποῤῥοίαις, ταῖς ἀπὸ τῶν ἄλλων, καὶ ἐκλύεται τὴν δύναμιν.

vesci possimus, afferunt, neque odorata sunt, neque attenuandi vim habent, ea salubria non sunt habenda. quin etiam nonnulla mortiferam evaporationem obtinent, ut taxus: homines enim, qui prope hanc arborem dormiunt, moriuntur: qui procul distant, non item. quandoquidem habitus procul delatus, plerisque defluxibus aliorum commixtus, eam vim amittit.

ΚΕΦ. ιζ.

Διάγνωσις ὑγιεινῆς ἀναθυμιάσεως χωρίων.

Πρῶτον τεκμήριον γένοιτ' ἂν σοι τῆς ὑγιεινῆς τοῦ χωρίου ἀναθυμιάσεως, ἐξ αὐτῆς τῆς γῆς, ἡ βρεχομένη, μὴ μόνον γεῶδες 25) ὀδώδοι, ἀλλὰ καὶ εὐωδίαν ἀναπέμποι, 26) ὁποῖα ἡ ἐν αἰγύπτῳ γῆ. ἔπειτα ἕωθεν, τῆς οἰκείας ὁπότε οὐδέπω καπνὸν, καὶ κνίσαι, καὶ τῶν εἰς τὴν πόλιν συμφορουμένων ἡ ἀποφορὰ κέκραται τῇ ἐπιχωρίῳ ἀναθυμιάσει, ἄσθοιο τινος ἐκ τῆς γῆς ἰκμάδος προσηνοῦς, ὃ συμβαίνει ἐν αἰγύπτῳ, προϊούσῃ, καὶ εἰ κατακλιθείς τις ἐπὶ γῆς, καὶ ἐνδιατρίψας, 27) φαίη κοπώτεροι ἑαυτοῦ αἰσθάνεσθαι καὶ εὐκινητότερον, καὶ τροφῆς ὀρέγεσθαι. γένοιτο δ' ἂν σοι τεκμήριον, καὶ εἰ τὰ φυόμενα ἐκ τῆς γῆς, εὐβαφῆ, καὶ εὔχροα, καὶ εὐω-

Cognitio salubris exhalationis regionum. Cap. 17.

Primum salubris exhalationis regionis signum ex terra ipsa sumitur. ea enim humore perfusa non solum terrenum quid redolet, sed suavem etiam odorem spirat, qualem Aegyptus facit. deinde vero mane, cum domus nondum fumo et nidore est imbuta, odorque eorum, quae in civitatem comportantur, una cum regionis exhalatione temperatur: ex quo fit, ut vaporem quendam gratum, quod in Aegypto usu venit, e terra elatum sentiamus. sique in terra quispiam recumbat, ibique moretur, videre videatur se leviorem, et ad motus aptiorem, atque agiliorem esse factum,

---

24) Appellatur etiam σμίλαξ. Eadem de hac prodit. Dioscor. 4, 80. p. 276.

25) τι addendum videtur.

26) Codex: ἀναπέμπει, et mox, εὔωθεν, loco ἕωθεν. Sed reliqua hic etiam corrupta sunt. Rasarius voluit τῆς οἰκίας. Forte: ἕωθεν τῆς ἡμέρας, (τῆς ὥρας) ὁπότε οὐδέπω καπνὸς καὶ κνίσαι, καὶ τῶν εἰς τὴν πόλιν συμφορουμένων ἡ ἀναφορὰ κέκραται τῇ ἐπιχωρίῳ ἀναθυμιάσει, ἂν αἰσθοιό τινος ἐκ τῆς γῆς ἰκμάδος προσηνοῦς, ὃ συμβαίνει ἐν αἰγύπτῳ, προσιούσης.

27) Etiam haec turbata. Primo in textu legebatur κοπώτεροι, deinde correctum κουπώτεροι. Margini vero adscriptum κουφώτεροι. Loco φαίη, a φημί, Rasarius videtur voluisse φαίνοιτο. Ego ita conjicio: φαίη κουφότερον ἑαυτοῦ αἰσθάνεσθαι καὶ εὐκινητότερον, καὶ τροφῆς ὀρέγεσθαι. Loco ἑαυτοῦ legi quoque potest ἑαυτόν, cum αἰσθάνεσθαι Attice accusativum habeat.

δέστερα ὑπάρχοι, καὶ εἰ 28) ἀφορῶν τις ἐςὶ χλόην, μὴ θέλοι ταχὺ μεταφέρειν εἰς ἄλλο τὴν ὄψιν, καὶ εἰ τὰ 29) χαμαιζηλότερα δένδρα τῶν ὑψηλοτέρων εὐποτμότερα εἴη, καὶ εἰ πάντα εὔχροια 30) ἔχοι καὶ εὔτροφα τὰ φύλλα, καὶ τοὺς καρποὺς εὐθὺς ἐκφύσαι, πεπείρους, εὐωδεστέρους τε. τεκμαίροιο δ᾽ ἂν τὴν ἡδίω τοῦ χωρίου ἀναθυμίασιν 31) ὑγιεινὴν, καὶ ἀπὸ τῶν ἐν τῷ χωρίῳ γεννωμένων ζώων. πάντα γὰρ τὰ παιδία εὐθαλέστερα καὶ εὔσαρκα ἢ 32) τὸ χρῶμα εὐανθέστερα, καὶ τοὺς σκύλακας, καὶ τῶν ἄλλων ζώων τὰ νεόγεια 33) κρείττω καὶ ὑγιεινότερα τῶν ἐν ἄλλοις χωρίοις, ἴδοις ἄν. ἀλλὰ μὴν, καὶ ὅσα ἀποτίθενται 34) ἄνθρωποι σπέρματα, 35) οἷον, πυροὺς, κριθὰς, καὶ τῶν ἄλλων καρπῶν, ἰσχάδας, φοίνικας, καὶ τὰ ὅμοια, εἰ ἐπὶ πλείονα ἀδιάφθορα μένοι χρόνον, τεκμήριον ποιοῦ τοῦ ὑγιεινὸν εἶναι τὸ ἀπὸ τοῦ χωρίου ἀναθυμιάμενον. καὶ τοὺς ὕπνους δὲ ἡδείους ἂν εὕροις, καὶ τὴν ψυχὴν οὐκ ἐκταρασσομένην ὑπὸ τῶν κατὰ τοὺς ὕπνους φαντασιῶν.

cibumque appetere. erit etiam tibi argumento, si, quae ex terra oriuntur, bene tincta et probe colorata et odoratiora fint: ac, si quis virentes herbas intueatur, nolit afpectum alio cito traducere: sique arbores magis ligneae humi incumbentes optabiliores fint, quam fublimiores: fique omnia habuerint probe colorata et rite nutrita folia: fique fructus ftatim maturos et odoratiores ferant. Iam vero poteris facere coniecturam, utrum regionis * jucundior exhalatio falubris fit, ex iis animalibus, quae in ea regione nascuntur. pueri enim omnes floridi et succi pleni et coloratiores sunt: itemque catuli, et caeterorum animantium filioli, nuper in lucem editi, meliores, praeftantioresque sunt, eosque salubriores, quam in aliis regionibus, conspicies. Quinetiam, si, quae homines reponunt, ut triticum, hordeum, caeterique fructus, et caricae, et palmulae, et caetera generis ejusdem, diutius manserint incorrupta, figno erit, salubrem e regione vaporem emitti. sed et somnos suaviores inuenies, et animum a visis in somnis nequaquam perturbari conspicies.

28) Forte: εἰ ἀφορῷ τις εἰς χλόην, aut etiam ἐφορῷ.

29) Codex: χάμαι ζηλότερα δέντρα. Sic. Rasario in mentem venerat, ξυλότερα. Sed id nullibi occurrit, verum ξυλωδέστερα.

30) Imino, εὔχροιαν. εὔχροιος non dicitur, fed εὔχροος. Ergo εὔχροα, loco εὐχρόως. Mox Cod. ἐκφυσᾶινον (fed νον expunctum) πεπέρους. Sic. De εὐθὺς dubito.

31) Forte καὶ interponendum.

32) Nimirum κατὰ, quod, ut notum, obiter folum monui.

33) Ita inepte in Codice. Satis notum eft νεογνὸς, recens natus. Inde deminutivum, τὰ νεόγνια, quod in lexicis fruftra quaeras. Τὰ νεογνὰ, ab νεογνὸς, eft in Geopon. de gallinis p. 989. Sic νεοττὸς et deminutium νεόττια. Hujuscemodi vocabula non ex lexicis, fed ex analogia linguae a peritis, etsi ea nunquam legerint, facillime intelliguntur.

34) *Recondunt ad futurum usum. Inde* ἀποθῆκαι, *loca, in quibus varia reconduntur et fervantur.*

35) Mox etiam καρπούς memorat.

ΚΕΦ. ιη.

Διάγνωσις μοχθηρᾶς ἀναθυμιάσεως.

Τεκμαίροιο δ' ἂν καὶ τὴν μοχθηρὰν τῶν χωρίων ἀναθυμίασιν, εἰ βῶλον τὶς γῆς λαβὼν, βρέχοιεν ὕδατι. ὀδμὴ γὰρ ἂν γένοιτο, ὁποῖα σβεννυμένων τῶν ἀνθράκων, καὶ πάντα τῶν εἰρημένων 36) ἐναντία εὑρὼν, ἔχοις ἂν κατάληψιν τοῦ μοχθηρὰν ἔχειν τὸ χωρίον ἀναθυμίασιν. εἰ δέ τις ἀνάγκη γένοιτο, διατρίβειν χρόνον τινὰ ἐν τοιούτῳ χωρίῳ, ἐν τοῖς ὑπερῴοις καὶ ὑψηλοτάτοις οἰκήμασι τὰς διατριβὰς ποιούμενος, ἥκιστα ἂν βλάπτοιτο. πάντα γὰρ τὰ ἐκ τῆς γῆς, ἢ τῶν ὑγρῶν, ἀναθυμιάμενα πέσσεται μεταωριζόμενα, καὶ καθαίρεται, τὸ παχύτερον καταλιπόντα ἐν τῷ τοῦ ἀέρος παχυτέρῳ μέρει.

Cognitio pravae et vitiosae exhalationis. Cap. 18.

Coniectura assequeris, vitiosam esse regionis exhalationem, si terrae glebam capias, et aqua madefacias. odor enim inde emanabit, perinde ac e carbonibus restinctis. praeterea, cum in regionibus omnia contra, quam supra dixerim, comperias, iam cognosces; pravam ejus esse exhalationem. si vero necessitas aliqua te in ea regione aliquod temporis spatium morari cogat, si in tabulatis, sublimioribus habitationibus, moram traxeris, minime laederis. omnia enim, quae ex terra, aut humoribus exhalantur, in sublime elata, crassiorem eorum partem in aëris parte crassiore relinquentia, concoquuntur atque purgantur.

ΚΕΦ. ιθ.

Ὅτι διὰ τὴν πρὸς τὸν ἥλιον σχέσιν ὑγιεινά ἐστι, καὶ οὐχ ὑγιεινὰ τὰ χωρία.

Τῶν χωρίων τὰ μὲν πρὸς μεσημβρίαν, κατά τε 37) πάσαις ταῖς τοῦ ἐνιαυτοῦ ἡμέραις, καὶ σχεδὸν ὅλαις, μεταλαμβάνοντα τοῦ ἡλίου, μάλιστά ἐστιν ὑγιεινά· τὰ δὲ καταντη 38) πρὸς ἄρκτον, ὡς ἂν οὔτε πάσαις ταῖς τοῦ ἐνιαυτοῦ ἡμέραις δεχόμενα τὴν αὐγὴν τοῦ ἡλίου, φωτίζεται ὀλίγιστον χρόνον τῆς ἡμέρας, καί ποτε τὸ φῶς ἐγκεκλιμένον μάλιστα προσπίπτει καὶ ἀτονώτερον, ἥκιστα ὑγιεινά. δῆλον δὲ

Regiones, quatenus ad solem pertinent, salubres, aut non salubres esse. Cap. 19.

E regionibus, quae ad meridiem sunt, in omnibusque anni diebus, ac per totos ferme dies solem habent, sunt maxime salubres. quae declives ad septentrionem sunt, utpote, quae non omnibus anni diebus solis splendorem recipiant, perexigua diei parte illustrantur. et, quandoque lux maxime inclinata atque imbecillior eis incidit, ideoque minime sunt salubres. id quod est sane

36) Scilicet, capite 17. a principio capitis dissoluta est constructio, mista secunda et tertia persona. Cogitabam de βρέχοι ἐν.

37) Post κατά requiritur accusativus. Forte, καθά, aut, κατά τε, id est, ἔπειτα δὲ καί.

38) Hic non sermo est de locis decliuibus et acclivibus, sed de opposito locorum situ. Conjicio ergo, καταντικρὺ, *ex adverso*, *e regione*. Vide tamen paullo inferius.

ἀπὸ ὑστέρας, καὶ 92) τὸν ἐν βάθει προσμένοντα καὶ ὄντα ὅλως ἀλλοτριοῦνται· ἧσσον δὲ καὶ τοῖς ψύχουσιν ὑπακούουσι. χαίρει δὲ ὑστέρα μὲν τοῖς στύφουσι μάλιστα. αἱ δὲ διὰ στόματος ἀναγωγαὶ, 93) οὔτε τὰ ξηραίνοντα προσδέχονται, οὔτε τὰ εἰρημένα. εὐαρεστοῦσι δὲ τοῖς παρεμπλάσσουσιν, οὐ μὴν πᾶσιν, ἀλλ' ὡς 94) ἀποθεῖναι δύνανται, καὶ ἀκίνδυνα καθέστηκε. ψιμμύθιον γὰρ, καὶ γύψος, καὶ καδμία, καὶ διαφανὲς, 95) δηλητηρίων ἔχει χώραν· ἐπὶ τῶν ἔξωθεν οὖν αἱμοῤῥαγιῶν ταῦτα ἐπιτήδεια παραλαμβανόμενα.

ΚΕΦ. κγ.

Περὶ κολλυρίων. Ἐκ τοῦ αὐτοῦ λόγου.

Κολλύρια, τὰ μὲν ἰδίως λεγόμενα, ὀφθαλμοῖς προσφέρεται. λεανθέιτα 96) δὲ, κοινῶς προσαγορευόμενα ὁλόκληρα, τα μὲν προστίθεται, τὰ δὲ ἐντίθεται. προστίθεται μὲν ὑστέρᾳ· ἐντίθεται δὲ 97) σύριγξι καὶ κόλποις. τὰ μὲν οὖν ὑστέρᾳ προστιθέμενα, καθαρσίν τε προκαλεῖται, καὶ ἔμβρυα 98) ἐκ-

utero fluunt, quaeque in profundis partibus manent, et ſunt, omnino aliter curari. nam minus parent refrigeranticus: quippe cum uterus adſtringentibus praecipue delectetur. quae per os erumpunt, ſiccantia non admittunt, nec, quae modo diximus: ſed iis, quae glutinant, curantur: ſed ne iis quidem omnibus: verum imponi possunt, et quae periculo vacant. nam cerussa, gypsum, et diphryges, et cadmia veneni vim habent: quae quidem in ſanguinis eruptionibus partium externarum convenienter adhibentur.

De collyriis. Ex eodem. Cap. 23.

Quae collyria proprie dicuntur, ea oculis adhibentur. laevigata vero, quae communiter integra nominantur, alia apponuntur, alia imponuntur. apponuntur autem utero: imponuntur vero fiſtulis, et finibus. quaeque utero adhibentur, purgationes provocant, et foetum educunt. ea autem ex colophonia

92) Conjicio interim: αἱ δὲ (αἱμοῤῥαγίαι) ἀπὸ ὑστέρας καὶ τῶν ἐν βάθει προσμενόντων καὶ ὄντων. Fruſtra autem, καὶ ὄντων adjectum, poſt προσμενόντων Ergo forte: προσμενόντων, καιόντων (nimirum, ἰσχαίμων.) ὅλως ἀλλοτριοῦνται, id eſt, *alienae ſunt*, *abhorrent*. Mox memorat ψύχοντα ἴσχαιμα et στύφοντα.

93) Nimirum, τοῦ αἵματος

94) Forte: ἀλλ' οἷς ἀποθεῖναι, aut, ἃ ἀποθεῖναι. Rasarius in mente habuit, ἐπιθεῖναι, *imponere*, loco, *deponere*. Aut, ἀποθῆσαι.

95) Vide ſupra notam 88. Nam et hic διφρυγὲς legendum videtur. Mox eſt: δειλητήριον, quod correxi.

96) Forte: λεανθέντα δέ, τα κοινῶς, aut, τά δὲ κοινῶς. Mirum enim, eadem, et λεανθέντα, et ὁλόκληρα appellari. Ὁλόκληρα κολλύρια non legi, ſed ξηροκολλούρια et ὑγροκολλούρια. Nam et κολλούριον dicitur.

97) V. Paul. Aegin. 4, 49. 6, 77. et de κόλπος. 4, 48. Κολλύριον inſeritur etiam aliis corporis partibus, ut ἕδρᾳ, μυκτῆρσι, ſicuti medici docent.

98) Miror ſane, apud Hippocratem, Dioscoridem, et alios, memorari etiam medicamenta, quae embriones depellant, a pessumdent. Ea enim ars medica, si hoc nomine digna eſt, contra naturam eſt, ſensumque cultioris humanitatis. Verum veteres etiam, apud plures gentes, recens natos infantes impune exponebant, quod multo etiam crudelius censeo. QUANTIS LAUDIBUS HIC PRAEDICANDA SUNT ROSSICI IMPERII INSTITUTA ET MANDATA, QUIBUS PUBLICIS SUMTIBUS CAUTUM EST, NE INFANS ULLUS, AUT LAESAE PUDICITIAE VIRGINIS, AUT EGESTATIS PARENTUM LEGITIMORUM CAUSSA, INTERITUI DEVOVENDUS SIT. QUIN IMMO MATRES INOPES DELATI INFANTULI PRAEMIOLUM ETIAM ACCIPIUNT,

βάλλει. σκευάζεται δὲ διά τε κολοφωνίας, καὶ σμύρνης, καὶ κράμβης ῥίζης, δικτάμνου καὶ ἐλατηρίου. δεῖ δὲ μῆκος μὲν εἶναι δακτύλων τεσσάρων τὰ κολλύρια, μύουρα 99) δὲ κατὰ τὸ σχῆμα, καὶ κροκίδι περιελίσσας 100) ἢ λινῷ ἐπιμήκει, ὅπως μετὰ τὸ αὐτάρκη μεῖναι χρόνον ἐπισπασθῆναι 1) διὰ τῆς κροκίδος, ἢ τοῦ λινοῦ ἔξω. χρίεσθαι δὲ τὸ κολλύριον κυπρίνῳ. χρὴ δὲ φυλάσσεσθαι, ὡς μήτε φλεγμαινούσης, μήτε ὀδυνωμένης τῆς ὑστέρας προστεθῆναι. τὰ δὲ ἐντιθέμενα κολλύρια σύριγξί τε καὶ κόλποις, ὑπὲρ τοῦ παρακολλῆσαι 2) παραλαμβάνεται. γίνεται δὲ ταῦτα διὰ μέλιτος ἑφθοῦ, ἢ διὰ ταυροκόλλης, καὶ διὰ ἰοῦ, ἢ καὶ διὰ χαλκοῦ κεκαυμένου· τὰ δὲ ἐπὶ τῶν συρίγγων ἐντιθέμενα, ὑπὲρ τοῦ ἐκτυλῶσαι, σκευάζεται διὰ μέλιτος καὶ μίσυος, 3) καὶ χαλκάνθου, καὶ χαλκίτεως, καὶ λεπίδος μελαίνης, καὶ ῥίζης πρασίου καὶ κεδρίας, καὶ σέρεως. ἔσω δὲ ταῦτά τε καὶ τὰ ἐπὶ τῶν κόλπων, μήκει μὲν σύμμετρα τοῖς κόλποις ἢ τοῖς σύριγξι· πάχει δὲ ἐλάσσω, ὡς μὴ διεφηνεῖσθαι. 4) ἐντίθεται δὲ καὶ σπόγγος καὶ πάπυρος ἐσκελετευμένα λίνῳ, ἐπί τε κόλπων καὶ συρίγγων, ὑπὲρ τοῦ ἀναξηρᾶναι, εἰ τούτου δεοίμεθα. ἐπισπᾶται γὰρ

myrrha, et brassicae radice, dictamno, et elaterio conficiuntur. Debent autem collyria longitudinis quatuor digitorum esse: eorumque figura caudae muris esse similis. sunt etiam linamentis, aut filo oblongo appendenda, ut cum temporis, quod satis sit, permanserint, avelli foras queant. collyrium quoque cyprino ungendum. sed animadvertendum est, ne utero inflammato, aut dolenti, collyrium admoveatur. Quae vero fistulis et finibus induntur, ea, ut agglutinentur, imponi solent. haec autem ex melle cocto fiunt, aut ex taurino glutine, aut ex aerugine, aut aere combusto. quae fistulis induntur, ea ad callos exterendos imponimus, fiuntque ex melle, mysi, atramento sutorio, chalcitide, squama nigra, radice marrubii, cedria, et seride. haec vero, et quae in sinus induntur, esto longitudinis paris fistulis, et finibus: crassitudinis vero minoris, ne cunei instar imponantur. spongia quoque, et papyrus exsiccata ex lino inditur, et in fistulas, et in finus, exsiccandi causa, si exsiccandi sit necessitas: trahunt enim hae ad se humorem: et ut dilatemus, aperiamusque ora fistula-

ALIAE VERO ULTRO ETIAM ANTE PUERPERIUM PUBLICE ALUNTUR ET CURANTUR. QUAE QUIDEM BENEFICIA PROXIME ACCEDUNT AD DIVINA.

99) Erotian. p. 50. *τὰ ἐκ πλάτυς εἰς μύουρον ἠγμένα. μύουρα*, quae ex latiori desinunt in acutum ac tenue.

100) *περιελίσσας* nullo modo potest esse ab *περιελίσσω*. Forte: *περιειλήσας*. Mox in Cod. est: *μετὰ τὸ*, (correxi, *τὸ*) *αὐτάρκη*.

1) *ὅπως — ἐπισπασθῆναι*. Addendum videtur *δύναιτο*.

2) Rasarii interpretatio, *imponi solent*, displicet. Forte voluit: *adhiberi solent*. Credo, esse errorem typothetae. *Imponi* prorsus est contrarium *τῷ induntur*, seu, *inseruntur*.

3) Ita Codex. Idem Dioscor. V, 71. p. 672. et Athenaeus p. 62. Alii scribunt *mysi*, uti hic Rasarius, qui tamen hoc uno Codice usus est, quo nos utimur. Locus Dioscoridis legitur etiam apud Oribas. Coll. med. lib. XIII. ubi fol. 191. iterum in hoc Codice legitur *μίσυ*. Atque ibi Rasarius quoque habet *misy*.

εἰς ἑαυτὰ τὴν ἰκμάδα, καὶ ὑπὲρ τοῦ διευρῦναι, καὶ ἀνοῖξαι τὰ σομία τῶν συρίγγων, παρασχεῖν τε χώραν τοῖς κολλυρίοις τῆς παρόδου. τῶν δὲ ὀφθαλμικῶν κολλυρίων, τὴν μὲν ὕλην ἐξεθέμεθα ἐν τῷ περὶ ἐμβροχῶν, καὶ καταπλασμάτων, καὶ ἐμπλασμάτων τόπῳ. σκευάζειν δὲ τὰ κολλύρια ἔαρος. θέρους τε γὰρ ἡ δύναμις αὐτῶν διαπνεῖται, καὶ μάλιστα τῶν ἀρωμάτων, ξηρῶν κοπτομένων· ἔτι τε ἐξαεροῦται. χειμῶνος δὲ, ἐν μὲν τῷ ξηρὰ κόπτεσθαι οὐδὲν λυπεῖται· τριβόμενα δὲ σὺν τῷ ὑγρῷ φρίσσειν, καὶ οὔτε ἀνίησι τὰς δυνάμεις, οὔτε ἀνακιρνᾶται ἀλλήλοις· ἐνίοτε δὲ, καθάπερ ἐν ταῖς δυσχειμέροις χώραις, καὶ ἀποβάλλει τὰς δυνάμεις τὰ φάρμακα, χειμῶνος ἐν τῷ ὑγρῷ τριβόμενα. ἐκπήγνυται γάρ. οὐδὲ λίαν ξηροτρίβειν τὰ φάρμακα. τὸ γὰρ χνοῶδες αὐτῶν, ὅπερ ἐσι καθαρώτατον τῇ δυνάμει, ἐξατμίζεται καὶ ἀπέρχεται. τριπτέον δὲ καθ᾽ αὑτὰ μὲν ξηρὰ τὰ φάρμακα, ὥσε διασεῖσαι 5) χωρὶς βίας διὰ τῶν λεπτοτάτων κοσκίνων σὺν τῷ ὑγρῷ. οὐκ ἀθρόον δὲ παραχυτέον τὸ ὑγρὸν, ἀλλὰ κατὰ βραχὺ, ὥσε ἀεὶ γλοιῶδες καὶ ἰξῶδες τρίβεσθαι τὸ φάρμακον. οὕτω γὰρ ἑνωθήσεται τὰ ἐμβαλλόμενα πρὸς ἄλληλα. εἰ δὲ πᾶν ἐπιχυθείη τῶν ὑγρῶν, τὰ μὲν μεταλλικὰ ὑφιζάνει· τὰ δὲ ἀρωματικὰ ἐπιπολάζει, καὶ οὔτε ἀλλήλοις ἀναγκασθήσεται ἑνωθῆναι, οὔτε ὑποπεσεῖται τῷ λεαντῆρι 6) προτρέχοντα καὶ διαφεύγοντα τῷ ὑγρῷ.

rum et locum, ut collyria ingredi possint, praebeamus. Caeterum collyriorum, quae ad oculos pertinent, silvam et materiam exponimus, ubi de madefactionibus, et cataplasmatis, et emplasmatis verba facimus Vere parare collyria debemus. nam aestate eorum vis euanescit, et praecipue aromatum aridorum contusorum. at hyeme, etiamsi arida contundantur, nihil tamen laedentur. cum humore autem contritae inhorrescunt, neque vires remittunt, neque inter se permiscentur. Quandoque etiam, quemadmodum in regionibus, quae hyberna saevitia rigent, medicamenta in humore trita suas vires hyeme amittunt, siquidem congelantur. sed nec etiam valde sicca medicamenta conterenda sunt: nam pulverulenta eorum pars, quae purissima facultate est, evaporat, et in nihilum abit. Sicca autem per se terenda sunt, ut per tenuissimum cribrum sine vi traiici cum humore queant. non tamen humor confertim affundendus est, sed paulatim, ut semper strigmentosum, et viscosum medicamentum teratur. ex quo consequetur, ut, quae injecta fuerint, inter se cohaereant. si vero totus humor affundatur, metallica residebunt, aromatica vero innatabunt, neque inter se uniri cogentur: neque sub pistillum cadent: quippe quae praecurrant, et cum hu-

4) Rasarius derivavit a σφὴν *cuneus*. Ergo voluit, διεσφηνῶσθαι. Saepe quidem occurrit σφηνοῦσθαι, loco, *condensari*, *confercire*. Mihi tamen in mentem veniebat, διεφικνεῖσθαι, *ne fistulas* et *sinus* (propter latitudinem) *pertranseant*, *ne latiora sint collyria*.

5) Credo, διασῆσαι, a σήθω. σήθειν et σείειν frequenter permutantur.

6) A λεαίνειν.

τὸ δὲ ὕδωρ ὄμβριον ἔϛω. λεπτὸν γὰρ τοῦτο, καὶ διαδύεται διὰ πάντων, εἰ μὴ οἶνον τύχῃ τὸ κολλύριον ἀναλαμβάνεσθαι. τὰ μὲν δὴ διὰ μεταλλικῶν σκευαζόμενα κολλύρια λεαίνεται χρόνῳ πολλῷ· τὰ δὲ διὰ χυλῶν, ὀλίγης 7) μέρους δεῖται τρίψεως. μετὰ δὲ τὸ αὐτάρκως ἔχειν τῆς λεάνσεως, κόμμι προσβάλλεται τοῖς κολλυρίοις, ὑπὲρ τοῦ συναγαγεῖν. καὶ μετὰ τὸ ξηρανθῆναι, ἀῤῥαγῆ παρέχειν τὰ κολλύρια. ἰδίαν γὰρ δύναμιν οὐδεμίαν ὀφθαλμοῖς ἐπιτήδειον ἔχει τὸ κόμμι. ἀποτίθεσθαι δὲ χρὴ μετὰ τὸ ἀναπλάσαι τὰ κολλύρια ἐν ἀγγείῳ χαλκῷ. βελτιοῦται γὰρ ὑπὸ τοῦ χαλκοῦ τὰ ὀφθαλμικά. τοῖς μὲν οὖν διὰ χυλῶν, εὐθὺς δεῖ χρῆσθαι· τὰ δὲ διὰ τῶν μεταλλικῶν παλαιούμενα κρείσσω γίνεται.

Τρόπος χρήσεως.

Ἁρμόζει μὲν ἀρχομένη ὀφθαλμίᾳ, καὶ μάλιϛα θέρους, τὰ διὰ γλαυκίου, κρόκου, σαρκοκόλλης· ῥεύματι δὲ, τὰ διὰ ῥόδων, τὰ διὰ Φοινίκων ὀϛέων κεκαυμένων, τὰ διὰ θαλλίας· ὀδύναις δὲ ἰσχυραῖς, τὰ διὰ ἀϛέρος, τὰ διὰ ἀμύλου, τὰ βαβυλάνια καλούμενα· χειμώσεσι 8) δὲ, τὰ διὰ πομφόλυγος, τὰ διὰ ψιμμυθίου, τὰ διὰ νάρδου· πρὸς δὲ ἕλκη, τὰ διὰ λιβάνου· πρὸς δὲ τὰς διαθέσεις τὰς ἐγχρονικυίας, τὰ δριμέα. τὰ δὲ αὐτὰ καὶ πρὸς ἀμβλυωπίας. ἡ δὲ ὕλη παρὰ πᾶσιν ἔγκειται τῶν κολλυρίων. δεῖ δὲ ἐγχυματίζειν, 9) ἐπί τε χει-

more confugiant. aqua autem esto pluvia: ea namque tenuis est, et omnia permeat. sin secus, collyrium vino excipiendum erit. Quae autem ex metallicis parantur, multo tempore laevigantur: quae ex succis, exigui temporis contritione indigent. ubi vero satis fuerint laevigata, gummi collyriis additur, ut componantur, et, quia postquam siccata sint, facit, ut collyria non frangantur. nullam tamen propriam facultatem oculis gummi praebet. ubi vero confecta fuerint, in aeneo vase reponantur. nam, quae ad oculos pertinent, meliora ab aere fiunt: at, quae ex succis constant, iis utendum statim est: quae vero ex metallicis conficiuntur, inveterata meliora redduntur.

Usus collyriorum modus.

Lippitudini autem incipienti conveniunt ea, quae ex glaucio, croco, et sarcocolla conficiuntur, idque praesertim aestate: defluxioni vero, quae ex rosis, quae ex ossibus palmularum combustis, quae ex summis oleae colliculis constant: vehementibus doloribus, quae ex astere, quae ex amylo, quaeque babylonia vocantur. ad chemoses vero facit collyrion ex pompholyge, ex cerussa, ex nardo. ad ulcera, quae ex thure fiunt. ad affectiones, quae inveterarint, valent acria collyria. eadem ad hebetes oculos accommodata sunt. collyriorum

7) Forte: ὀλιγομεροῦς.

8) Scibitur χήμωσις et χύμωσις. v. Paul. Aegin. 3, 22. Galen. in defin. med. Rufus Ephes. p. 19. edit. Paris.

9) De hoc v. Galen. in Gloss. p. 83. in λίβος. De χείμωσις vide hic notam 8. Mox Codex vitiose αἰρεθέξῃ et μίλη, ac deinde, πυρίνῳ. De πυρὴν v. Galen. in Gloss. p. 66.

μώσεως καὶ φλεγμονῶν ἰσχυρῶν, ἵνα μὴ ἐρεθίζῃ τὸ πάθος ἡ μήλη ψαύουσα· ὑπαλείφειν δὲ ἐπὶ τῶν ἄλλων περιστάσεων· τῷ δὲ πυρῆνι τῆς μήλης οὐ ψαυστέον τοῦ ὀφθαλμοῦ· ἀλλὰ καταπλασθὲν τοῦ κάτω βλεφάρου ἐκεῖνο παραθετέον τὸ φάρμακον. αἱ δὲ ἐξ ὑποβολῆς ἐγχρίσεις, καὶ αἱ κατὰ ἐκτροπὴν, θεατρικὸν μέν τι ἔχουσιν, ἀνίατον δέ. αἱ μὲν γὰρ ἐξ ὑποβολῆς λυομένων τε τῶν ὀφθαλμῶν πρὸς ἀντίτυπον τὴν μήλην 10) παρατρίβουσαι· αἱ δὲ κατὰ ἐκτροπὴν, τυλώδη ποιοῦσι τὰ βλέφαρα. αἱ δὲ ὑγραὶ λεγόμεναι, χρήσιμοι μέν εἰσι πρός τε ἀμβλυωπίας, καὶ πρὸς ἀρχομένας ὑποχύσεις. 11) σκευάζονται δὲ διὰ μέλιτος ἀττικοῦ καὶ ὀποβαλσάμου, καὶ χολῆς μάλιστα μὲν ὑαίνης· εἰ δὲ μὴ, ἐχίδνης, ἢ ἀετοῦ, ἢ γυπὸς, ἢ πέρδικος, ἢ ἀλεκτορίδων λευκῶν, ἢ κορακίνων, τῶν ἰχθύων. ἐνίοτε δὲ καὶ μαράθου χυλὸν λαμβάνουσιν, ἢ ἔλαιον, τὸ διὰ παλαιότητα ἢ διὰ 12) λεπτὸν, καὶ διαλελυμένον, ἢ ὀπὸν κυρηναικὸν, ἢ κιννάμωμον, ἢ τοῦ λεγομένου 13) βισασάτου σπέρματος, ὅπερ ἡγούμεθα πήγανον ἄγριον εἶναι. δύνανται δὲ αἱ ὑγραὶ λεπτύνειν τὲ καὶ θερμαίνειν καὶ καθαίρειν. δεῖ δὲ ἢ πάντα μὲν τὰ ὀφθαλμικὰ φάρμακα, μάλιστα δὲ τὰ ὑγρὰ· τῆς καταλλήλου χρήσεως τυγχάνειν, 14) κεφαλῆς ἀσυμπληρώτου, καὶ τῆς

autem materiae apud omnes sunt. Caeterum in chemosi, et vehementibus inflammationibus infundere collyria convenit, ne specillum contingens, morbum irritet. in caeteris casibus, sublinenda sunt: verum oculus non eſt acie specilli tangendus, sed palpebra inferiore illita medicamentum apponendum. illitiones vero, quae per subjectionem, et quae per eversionem adhibentur, nesoio quid decori continere videntur: caeterum non sanant. nam, quae ex subiectione fiunt, oculos solvunt, ſpecillo obsiſtente fricando: quae vero per eversiomem amoventur, palpebris callos obducunt. quae liquidae vocantur, utiles sunt ad hebetudines, et incipientes suffusiones, fiuntque ex Attico melle, opobalsamo, felle, et praesertim hyaenae: si id non sit, viperae, aut aquilae, aut vulturis, aut perdicis, aut gallorum alborum, aut coracinorum piscium: quandoque foeniculi succum capiunt, aut oleum, quod ob vetuſtatem sit pertenue et solutum: aut liquorem Cyrenaicum, aut cinnamomum, aut semen ejus, quod besasa dicitur, quod nos agreſtem esse rutam exiſtimamus. Humidae porro attenuare, calfacere, et purgare possunt. Omnia autem medica-

10) Forte: παρατρίβουσιν, ut mox, ποιοῦσιν.

11) Dicitur etiam ὑπόχυμα. v. Paul. Aegin. 6, 21. Cels. 6, 6. qui *ſuffuſionem* appellat.

12) Credo, legendum esse, διάλεπτον.

13) Dioscor. 3, 47. p. 337. exhibet, βησασά. In hoc ipso Codice Oribasii lib. XII. fol. 174. ex Dioscoride legitur: καλοῦσι δ' αὐτὸ ἔνιοι ἅρμαλα, σύροι δὲ βήσασαν.

14) De his dubito. Saltem ante κεφαλῆς addiderim καί. Ita duo infinitivi ab δεῖ pendent.

κοιλίας μεμαλαγμένης, οὕτω προσφέρειν· ἰδίως δὲ τὰς 15) ὑγρὰς, καὶ ἐν τῷ περιέχοντι καθαρῷ, καὶ βορείῳ, καὶ αἰθρίῳ· νότου γὰρ πνέοντος, ἢ ἀχλυώδους ὄντος τοῦ ἀέρος, ἢ ὑγροῦ, ἢ ψυχροῦ καὶ πεπηγότος, ἀλυσιτελὴς ἡ χρῆσις. τὸ δὲ ὅμοιον· καὶ ἐπὶ τῶν ὀξυδερκιῶν συντετύχηκε κολλυρίων. καὶ τὰ ἄλλα δὲ, ὅσα πρὸς ὀφθαλμίας χρησιμεύει, διὰ φυλακῆς ἐν τοιούτῳ περιέχοντι ἔστω· πλὴν, εἰ μὴ σφόδρα τὶς ἐπείγοι. ἐν ταῖς ἐπίξεσί τε, 16) ὀλιγάκις ἢ ὀλίγοις χρηστέον.

ΚΕΦ. κδ.

Περὶ τροχίσκων. Ἐκ τοῦ αὐτοῦ λόγου.

Τροχίσκων εἴδη εἰσὶ τρία. οἱ μὲν γάρ εἰσι πινόμενοι· οἱ δὲ ἐνιέμενοι· οἱ δὲ καταχριόμενοι. περὶ μὲν οὖν τῶν πινομένων ἐν τοῖς 17) προσφερομένοις λέγομεν· περὶ δὲ τῶν ἄλλων, νῦν. τῶν δι' ἐνιεμένων πάλιν, οἱ μέν εἰσιν ἀμβλυωτικοί· οἱ δὲ στυπτικοί· οἱ δὲ καυστικοί. ἀμβλυωτικοῖς μὲν χρώμεθα ἐπὶ τῶν δριμέα κάτωθεν ἐκκρινόντων, καὶ ὅλως δακνομένων τὸν 18) ἔντερον. ὕλη δὲ αὐτῶν ἄμυλον, καὶ ἀστὴρ σάμιος, καὶ πομφόλυξ, καὶ κόμμι, καὶ τραγάκανθα, καὶ γλυκυρίζης χυλὸς, καὶ ὄπιον, καὶ μάννα, καὶ βδέλλιον. δεῖ δὲ τὸν ἐκ τῶν τοιούτων τροχίσκον λειώσαντα

menta oculorum, et praecipue liquida, si accommodate admoveri debeant, non pleno capite, et mollita aluo, adhibenda sunt. quod praesertim in liquidis obseruandum est, idque in puro aëre, austrino, sub dio. nam spirante noto, et coelo nubilo, aut humido, aut frigido, et condensato, inutiliter admoventur. Idem usu venit in caeteris collyriis, quae ad acumen visus pertinent: itemque in aliis omnibus, quae ad lippitudinem faciunt, eadem aëris observatio servanda est: nisi fortasse quispiam sic urgeatur, ut eis utatur: quo casu, et raro, et paucis, uti debebit.

De pastillis. Ex eodem libro. Cap. 24.

Pastillorum sunt tria genera: quorum unum potui datur, alterum in aluum conjicitur, tertium illinitur. de pastillis vero, qui potui dantur, tum dicemus, cum de iis, qui aegrotis offeruntur, verba a nobis fient: de caeteris nunc instituta est oratio. Eorum ergo, qui induntur, alii obtundunt, alii adstringunt, alii adurunt. iis, qui obtundunt, utimur in iis, quibus per infernas partes acria excernuntur, et quae intestinum omnino mordeant. eorum materiae sunt, amylum, Samius aster, pompholyx, gummi, tragacantha, dulcis radicis succus, opium, manna, bdellium.

15) Paullo ante, τὰ ὑγρὰ, nunc derepente, τὰς ὑγράς. Hoc ergo corrigendum. Dubito vero prorsus de integritate hujus loci. Quid enim attinebat bis deinceps memorare τὰ ὑγρά.

16) ἔπιξις non est Graecum, sed ἔπειξις, ab ἐπείγω. Mox forte τε permutandum videtur cum δέ.

17) Nimirum φαρμάκοις. Rasarius videtur voluisse λέξομεν, quod non necesse est.

18) Haud dubie voluit τῶν ἐντέρων, nimirum δακνομένων. Legi quoque possit τὸ ἔντερον, τὰ ἔντερα.

μετὰ χυλοῦ πτισάνης ἐνιέναι, ἢ γύρεως, ἢ πιτύρων χυλοῦ, ἢ φακῆς ἀφεψήματος. τοῖς δὲ συπτικοῖς χρώμεθα, ἐφ' ὧν τε ἐπισχεῖν προαιρούμεθα ἄμετρον φορὰν, καὶ ἐφ' ὧν τονῶσαι τὸ ἔντερον. ὕλη δὲ καὶ τούτων, συπτηρία, ἀκακία, ὑποκυςὶς, 19) ῥοῦς συριακὸς, βαλαύστιον, οἰνάνθη, κικὶς, σίδιον, μυρσίνη. ἐνίεται δὲ μετὰ χυλοῦ ῥόδων, ἢ φακοῦ, ἢ ἀρνογλώσσου. τοῖς δὲ καυςικοῖς ἐπὶ νομῆς χρώμεθα, σκευαζομένοις διὰ σανδαράχης, καὶ ἀσβέστου, καὶ λεπίδος χαλκοῦ, καὶ χάρτου κεκαυμένου, καὶ τῆς ὁμοίας ὕλης. ἐνιέναι δὲ χρὴ τοὺς τοιούτους τροχίσκους, προεδηδοκότων καὶ πεπωκότων τῶν ἀῤῥώςων, ὡς ἂν μὴ πληγῇ ἐκ τῆς ἀναθυμιάσεως ὁ ςόμαχος. δεῖ δὲ πρὸ τῆς 20) ἐνιέσεως τούτων τῶν τροχίσκων ἅλμῃ κλύζειν, ὥςε, προαποῤῥυφθέντων τῶν ἑλκῶν, οὕτως ἐνιέναι τὸν τροχίσκον. μᾶλλον γὰρ ἐνεργεῖ. δεῖ δὲ, μέλλοντας ἐνιέναι καὶ ἐμβάλλοντας εἰς τὸ ἄσκωμα τὸ ἔνεμα, ἀνακινεῖν πολλάκις, καὶ οὕτως ἐγκλύζειν, ἵνα μὴ ὑφίζηται 21) τὸ φάρμακον. ἐνθέντας δὲ τὸν αὐλίσκον τῇ ἕδρᾳ, καὶ ἐκθλίβοντα χρὴ ςρέφειν ἐνταῦθα κἀκεῖ τὸν αὐλίσκον, ἵν', ἔνθα ἂν τυγχάνῃ τὸ ἕλκος, προσπέσῃ τὸ φάρμακον. οἱ δὲ καταχριςοὶ τροχίσκοι δυνάμεως μέν εἰσι παραπλησίας τοῖς ἐνιεμένοις. οἱ μὲν γὰρ ςύφουσιν, ὡς ὁ Ἄνδρωνος, 22) καὶ ὁ Πολυείδου, 23) καὶ ὁ κροκώδης, καὶ

hi paftilli triti cum cremore ptissanae, aut etiam cum polline, aut cremore furfuris, aut lentium decocto injiciendi sunt. Adftringentibus vero utimur, in quibus roborare inteftinum volumus. horum materia eft alumen, acacia, hypocyftis, rhus Syriacus, balauftium, oenanthe, galla, malicorium, myrtus. induntur hi cum fucco rosarum, aut lenticularum, aut plantaginis. Adurentium usus eft in depascentibus ulceribus. fiunt illi ex fandaracha, calce viva, fquama aeris, charta combufta, et caeteris hujus generis. funt autem imponendi paftilli hujusmodi, poftquam aegroti comederint et biberint, ne ftomachus ab exhalatione feriatur. praeterea, antequam indantur, clyfter ex muria imponendus eft: ut ulceribus, prius abftersis, paftilli indantur: quippe qui eo modo efficaciores fint futuri. caeterum, quos iniecturi fumus, in vafculum coniectos plurimum agitare oportet: et ita indere, ne medicamentum in fundo vafis fubfidat. ubi autem canaliculum ano impofuerimus, exprimere debemus, et vertere eodem in loco: ne, si forte ulcere obsideatur ea pars, medicamentum concidat. paftilli vero, qui illinuntur, parem vim habent cum iis, qui infunduntur. nam alii adftringunt, ut

19) De ὑποκυςὶς et ὑποκιςὶς iam monitum. Mox in Codice eft: ῥοῦ συριακοῦ.

20) Superius lectum eft, ἔνεσις, item, ἔνεμα, uti mox. Sed nec de hoc dubito.

21) Codex: ὑφίζησι. Mox oportet aequalia esse, ἐνθέντας et ἐκθλίβοντα. Ergo aut plurali, aut singulari numero.

22) v. Fabric. bibl. Gr. Vol. XIII. p. 61.

ὁ κιῤῥὸς, καὶ οἱ διὰ οἰσυπηρῶν. οὗτοι δὲ, καὶ ὁ διὰ ἁλικακάβου 24) ποιοῦσι πρὸς τὰ ἐξανθήματα, καὶ ἕρπητας, καὶ ἐρυσιπέλατα, καὶ παρατρίμματα, καὶ αἱμοῤῥαγίας, καὶ ῥευματικὰ ἕλκη. οἱ δὲ, ἀμβλύνουσι, καὶ ἁρμόζουσιν ἐπινυκτίσιν, 25) ἄνθραξι, 26) τοῖς κακοήθεσι τῶν ἑλκῶν.

Κ Ε Φ. κε.

Περὶ πεσσῶν. Ἐκ τοῦ αὐτοῦ λόγου.

Πεσσοὶ δὲ μόνῃ μὲν ὑστέρᾳ προστίθενται. διαφοραὶ δὲ αὐτῶν τρεῖς. οἱ μὲν γὰρ μαλάσσουσιν· οἱ δὲ στύφουσιν· οἱ δὲ ἀστομοῦσι. 27) τοῖς μὲν οὖν μαλάσσουσιν, ἐπί τε φλεγμονῶν ὑστέρας, καὶ ἑλκώσεων, καὶ ψύξεων, ἀναδρομῶν τε καὶ ἀποστροφῶν, καὶ ἐμπνευματώσεων χρώμεθα. σκευάζονται δὲ διὰ κηροῦ τυῤῥηνικοῦ καὶ 28) κυπρίνου, σουσίνου, πιμελῆς κυνείου ἢ ὀρνιθείου, βουτύρου ἀνάλου, ῥητίνης ἀποκεκαυμένης, μυελοῦ ἐλαφείου, τήλεως, καὶ τῶν ὁμοίων. τοῖς δὲ ἀναστομωτικοῖς, ἐπειδὰν κάθαρσιν ἐπεσχημένην προκαλεῖσθαι θέλωμεν, 29) ἢ μύσειν ὑστέρας, ἢ συστολὴν ἐπανορθῶσαι. σκευάζονται δὲ καὶ οὗτοι διὰ μέλιτος, ἀρτεμισίας, δικτάμνου, κράμβης, χυλοῦ γλυκυσίδης, πράσου χυλοῦ, πηγάνου, σκαμωνίας. οἱ δὲ στυ-

is, qui ad Andronem auctorem refertur; itemque is, qui a Polyida eft confectus, et croceus, et fuluus, qui ex lanis fordidis fiunt. tales etiam funt, qui ex halicacabo conftant, valentque ad exanthemata, herpetas, ignem facrum, intertrigines, fanguinis eruptiones, et ulcera fluentia. alii hebetant, et ad epinyctidas, carbunculos, et ulcera maligna faciunt.

De peffis. Ex eodem libro. Cap. 25.

Peffi utero foli admoventur. eorum tres funt differentiae. alii namque molliunt, adftringunt alii, alii denique aperiunt. Mollientibus ad uteri inflammationes, exulcerationes, perfrictiones, ftrangulatus, averfiones, et inflationes utimur. fiunt autem ex cera Tyrrhenica, cyprino, fufino, pinguedine anferis aut gallinae, butyro infulfo, refina deufta, medulla ceruina, foeno Graeco, et fimilibus. Aperientes utiles funt, cum purgationem fuppreffam provocare volumus, aut conniventem, compreffamve vuluam emendare: hique ex melle, artemifia, dictamno, braffica, dulcis radicis fucco, ruta, et fcammonea. Adftringentium ufus contrarius eft aperientibus. nam fluorem muliebrem cohibent, et uterum

23) Vide ibid. p. 377. Mox loco κροκόδης correxi κροκώδης.

24) V. Dioscor. 4, 70. 71. p. 511.

25) V. Paul. Aegin. 4, 9.

26) V. Ibid. 4, 25. et Galen. Defin. med.

27) Credo, ἀναστομοῦσι. Vide mox, ἀναστομωτικοῖς.

28) In textu: κυνείου, fed in marg. χηνείου. Utrumque notum. κύνεια κρέα legitur apud Erotian. p. 47.

29) ἢ μύσειν in textu: in marg. ἢ ἠμύσιν, sed ultimum vocabulum rursus deletur. Credo, τὸ μῦσιν.

πτικοὶ τὴν ἐναντίαν χρείαν, ὡς πρὸς τοὺς ἀναστομωτικοὺς, παρέχονται. ῥοῦν γὰρ ἐπέχουσι γυναικεῖον, καὶ ἀναπεπταμένην συνάγουσι ὑστέραν, καὶ 30) προπεπτωκυίαν ἀναστέλλουσιν. ἡ δὲ τῶν στυπτικῶν ὕλη δεδήλωται πρόσθεν ἐν τῷ περὶ κολλυρίων καὶ τροχίσκων λόγῳ. δεῖ δὲ γλοιώδες καὶ ὀλίγῳ παχύτερον ποιεῖν τοῦ πεσσοῦ τὸ πάχος, κἄπειτα ἔριον 31) μοτῷ στενῷ παραπλήσιον διπλοῦν ἀποβάπτειν εἰς τὸ φάρμακον, προστιθέναι εἰς τὸ στόμιον τῆς ὑστέρας, ἔχον ἐξαμμένην κροκίδα ἐπιμήκη, πρὸς τὸ ἐπισπᾶσθαι τὸν πεσσὸν εὐκόλως.

suspensum contrahunt, et prolapsum reprimunt. caeterum materiam adstringentium supra comprehendimus, cum de collyriis, et pastillis loqueremur. pessi crassitudo instar strigmenti, et paulo spissior facienda est. deinde lana tortili linamento similis duplicata medicamento tincta in os vulvae indenda est sic, ut stuppam oblongam alligatam habeat: quo facile pessus extrahatur.

ΚΕΦ. κϛ.

Περὶ 32) ἐγχυματισμῶν. Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἐγχυματισμοῖς δὲ χρώμεθα ἰδίως 33) ἐπὶ ὑστέρας, διὰ μητρεγχύτου· ὁ δὲ πρὸ αὐτῆς κόλπος, διὰ φυσαρίου. 34) τὸ δὲ ἐγχυματιζόμενον εἴς τε τὸν κόλπον, εἴς τε τὴν μήτραν, ὁμοειδές ἐστι. δύναται δὲ ὁ ἐγχυματισμὸς μαλάσσειν, στύφειν, θερμαίνειν, ἐκπνευματοῦν, παρηγορεῖν ὀδύνας, ταῦτα πάντα ποιῶν, παρὰ τὴν διαφορὰν τῆς ὕλης. ὑγρὸν δὲ δεῖ εἶναι τὸ ἐγχυματιζόμενον, ἢ ὀλίγον παχύτερον ἐλαίου.

De medicamentis, quae infunduntur. Cap. 26.

Utimur iis, quae infunduntur, proprie in utero per specillum, quod infundendo in ipsum liquori accommodatum est, quod *μητρεγχύτην* vocant: in sinu vero, qui ante uterum est, per follem. Id vero, quod infunditur, et in sinum, et in uterum, est ejusdem generis. potest autem infusio mollire, adstringere, calfacere, inflationes discutere, dolores mitigare: quae omnia pro materia, ex qua constat, solet efficere. debet autem liquida esse, aut oleo paulo crassior.

30) In Codice vitiose: *προσπεπτωκυῖαν*, id quod ex superioribus intelligitur, ubi *πρόπτωσις* et *προπίπτειν* hac de re occurrit. Vide hujus libri cap. 23. 24.

31) Scriba pro more suo vitiose *μωτῷ*. v. Erotian. p. 17. Galen. in Gloss. p. 72. Apud eundem p. 77. occurrit etiam *μοτάριον στρεπτὸν* et *μοτοῦν*. Pro proximo *στενῷ*, Rasarius videtur voluisse *στρεπτῷ*.

32) Ab *ἐγχυματίζω*, quo utitur Galen. in Glossis. p. 83. Vide mox hoc loco.

33) Codex habet *ὑπό*.

34) *φῦσα*, seu, *φύσσαι*. Inde *φυσαριον*.

ΚΕΦ. κζ.

Περὶ καταχρισμάτων. Ἐκ τοῦ αὐτοῦ λόγου.

Χρώμεθα καταχρίσμασιν ἐπὶ μερῶν τοῦ σώματος, ἐφ' ὧν οὔτε ἐμβροχὰς παραλαμβάνειν δυνατὸν, οὔτε καταπλάσματα, οἷον, ἐπὶ βλεφάρων, καὶ ὤτων, καὶ ῥινὸς τοῦ ἄκρου, καὶ ὅλου τοῦ προσώπου. βαρεῖται γὰρ ὑπὸ τῶν καταπλασμάτων καὶ βλάπτεται πρὸς τῶν ἐμβροχῶν καταῤῥεουσῶν. καὶ ἐπὶ τῶν πολυκινήτων δὲ μερῶν χρώμεθα, οὐκ οὔσης μονίμου τῆς τῶν καταπλασμάτων καὶ ἐμβροχῶν χρήσεως. 35) ἔτι καταχρίομεν τὰς πυρώδεις φλεγμονὰς, καὶ τὰς ἐρυσιπελατώδεις, ἐρεθιζομένας ὑπό τε τῶν καταπλασμάτων, καὶ τῶν ἐμβροχῶν, καὶ τὰς ἐπιπολαίους δὲ ἑλκώσεις, καὶ τὰς ἀπὸ τῶν ἀποσυρμάτων 36) καταχρίομεν, βαρυνομένας ὑπό τε καταπλάσματος καὶ ἐμβροχῆς, καὶ τὰ πελιώματα δὲ, καὶ τὰ σόμφα τῶν οἰδημάτων, καὶ ἄλλα πλείονα καταχρίομεν.

Ὕλη τῶν χρισμάτων, μετώπου ῥευματιζομένων καὶ ὀφθαλμῶν.

Ἔστι δὲ τῶν μὲν κούφων καταχρισμάτων, τοῦ ὠοῦ τὸ λευκὸν, ἢ κατ' ἰδίαν, ἢ σὺν ῥοδίνῳ, ἢ σὺν οἴνῳ στύφοντι, ἢ σὺν ἀλεύρῳ σιτανίῳ· ἰσχυρότερον δὲ ὠὸν σὺν μάννῃ, ἢ σὺν κόμμι· καὶ ἔτι μᾶλλον, κόλλαν 37) διαθεῖσαν ὕδατι ζέοντι, καὶ κοχλίαι δὲ λευκοὶ σὺν τοῖς ὀστράκοις λεανθέντες ἁρμόζουσι, καὶ κατ' ἰδίαν,

De unguinibus. Ex eodem libro. Cap. 27.

Unguinibus utimur in iis partibus corporis, in quibus neque madefactioni, neque cataplasmatis est locus: ut in palpebris, auribus, summo naso, et tota facie: siquidem a cataplasmatis gravatur, et a madefactionibus defluentibus laeditur. eadem quoque admovemus iis partibus, quae multum moventur, cum in eis cataplasma consistere non queant, et madefactionibus uti non possimus. Praeterea inungimus fervidas inflammationes, et quae naturam erysipelatis referunt: quaeque et a cataplasmatis, et a madefactionibus irritantur. exulcerationes quoque, quae in summa cute sunt, et desquamatas, inungimus: quippe quae a cataplasmatis, et madefactionibus aggravarentur. itemque sugillata, et laxos tumores, et alia permulta inungimus.

Materiae unguinum ad frontem, et oculos fluentes accommodatorum.

Ex levibus ungninibus est album ovi, vel per se, vel cum rosaceo, vel cum vino adstringenti, vel cum sitania farina. valentius fit ex ovo cum manna, aut cum gummi. magis etiam colla aqua ferventi resoluta: et cochleae albae cum testis contritae, eaeque, vel per se, vel cum ovo. Crocus quoque

35) Codex: χρίσεως.

36) Vide Dioscor. I, 28. p. 54. πρὸς ἀποσύρματα καὶ πρὸς ἕλκη πρεσβυτικὰ ἁρμόζει. Erotian. p. 34.

37) Ita Codex. Ego conjicio, διηθεῖσαν. Rasarius videtur voluisse, διαλυθεῖσαν, aut, διαιρεθεῖσαν.

καὶ σὺν τῷ ὠῷ. καὶ κρόκος δὲ σὺν ὄινῳ καταχριόμενος παρηγορεῖ. καὶ ἔτι μᾶλλον γλαύκιον σὺν ὄινῳ. ἄριστον δὲ ἐστι λημνία 38) σφραγὶς μετὰ ὄξους, ἢ μετὰ χυλοῦ βοτάνης περδικίου· ἀκακία τὲ κιῤῥὰ σὺν ὄινῳ παραπλησίως ὀνίνησι. τούτων δὲ, τὰ μὲν, τὸ 39) περιτενὲς ἐργάζεσθαι τὸ δέρμα τοῦ μετώπου καὶ τῶν κροτάφων. καὶ διὰ τοῦτο θλίβειν τὲ τὰ ἀγγεῖα, καὶ ἀπολαμβάνειν τὴν ἐπιῤῥοὴν τοῦ αἵματος, ὠφελεῖ· τὰ δὲ, τὸ 40) στύφειν μετὰ τῆς περιτονίας 41) καὶ συστέλλειν τῇ στύψει τὰ ἀγγεῖα. 42)

cum vino illitus mitigat. et magis etiam glaucium ex vino. praestantissimum est, quod ex Lemnio sigillo, et aceto, aut succo herbae perdicii conficitur. acacia itidem fulua cum vino similiter iuvat. Ex his quaedam tensam frontis et temporum cutim faciunt, et idcirco vasa comprimunt, et ad sanguinis defluxionem amoliendam valent. alia vero una cum protensione sua adstrictione vasa adstringunt.

Προσώπου καταχρίσματα.

Unguina faciei.

Καταχρίεται δὲ καὶ τὰ κατὰ τὸ πρόσωπον ἐξανθήματα ὠῷ μετὰ ψιμμυθίου, ἢ λυκίῳ μετὰ ἀμόργης 43) ἐλαίου ἐπὶ πολὺ ἀφηψημένης. ποιεῖ δὲ καὶ πρὸς τὰ κατεῤῥωγότα χείλη· ὑπώπια δὲ χυλῷ θαψίας καταχριστέον, ἢ ὑσσώπῳ χλωρῷ· τὰ δὲ κιλιδιῶν τὰ 44) πρόσωπα προπυριατέον θύμῳ, ἢ θύμβρᾳ, ἢ ὀριγάνῳ, εἰς ὀθόνιον ἀραιὸν ἐνδεομένοις καὶ ἀφεψωμένοις ἐν ὕδατι θερμῷ, 45) καὶ ἐπιθεὶς οὕτως ἄνθη καταχριστέον.

Exanthemata, quae in facie nascuntur, ovo cum cerussa, aut Lycio cum amurca superficie tenus decocto illinuntur. facit hoc etiam ad fissa labia. suffusiones vero succo thapsiae illinendae sunt, aut hyssopo viridi. faciem vero maculatam prius fovere debemus thymo, aut satureia, aut origano in linteum rarum coniectis, et aqua calida decoctis, et floribus impositis ita illinere.

---

38) Vide ad Geopon. p. 784.

39) Hoc τὸ superfluum videtur. Post κροτάφων addendum fortasse, δύναται. Facilius vero est, si pro hoc τὸ, legatur τῷ. Refertur autem ad postremum ὠφελεῖ, id est, ὠφελεῖ τῷ ἐργάζεσθαι κ. τ. λ. Loco ἀπολαμβάνειν malim, ἐπιλαμβάνειν, *inhibere.*

40) Hic rursus legendum censeo τῷ.

41) Modo lectum est, περιτενής. Utitur eo Hippocr. v. Erotian. p. 42. Forte ergo hic: περιτενείας.

42) Nimirum, ὠφελεῖ.

43) Equidem conjicio: ἐν ἐλαίῳ. Rasarius in mente videtur habuisse, ἐπιπολαίως.

44) Sic, et in marg. κηλιδοῶντα. Sed hoc quoque vitiosum. Forte κηλιδωτὰ πρόσωπα. Κηλιδόω, quod Stephanus etiam sine auctoritate habet, occurrit apud Philonem p. 70. B. κεκηλίδωνται. p. 96. A. et B. est ἀκηλίδωτος et κεκηλιδωμένην. p. 230. C. κεκηλιδωμένη. p. 502. E. ὅ (μίασμα) πᾶσαν τὴν στρατιὰν ἐκηλίδου. Non ergo κηλιδοῶντα conjiciendum erat, sed κεκηλιδωμένα. κηλιδιῶν non legi.

45) Dubia mihi haec videntur. Rasarii interpretatio abhorret a Graecis. Galenus in Glossis p. 64. inter alia ἄνθη explicat, ἐρυθήματα, item, πτύσματα ἀνθηρὰ exponit, ἐρυθρὰ καὶ ὕφαιμα. Hoc sensu ergo ἄνθη h. l. notare possunt, ἐρυθήματα, seu, κηλῖδας ἐρυθράς. De ἐπιτιθέναι hic prorsus non sermo est, sed de πυριᾷν καὶ χρίειν. Conjicio ergo interim: καὶ ἔπειτα (μετὰ τὸ προπυριᾷν) οὕτω τὰ ἄνθη καταχριστέον.

Χρίσμα ὤτων φλεγμαινόντων.

Ὦτα δὲ φλεγμαίνοντα, καὶ μάλιστα, ἐκ πληγῆς, κόλλη σὺν ὕδατι, ἢ σμύρνη σὺν οἴνῳ, ἢ μάννη σὺν οἴνῳ. 46) τὰ δὲ ἐν κεφαλῇ ἐξανθήματα, μετὰ τὸ ἀποξύραι, κιμωλίαν μετὰ ὄξους, ἢ τεύλου χυλοῦ, ἐπιχρίομεν. τὰ δὲ ὑγρότερα, κεδρίᾳ. τὰ δὲ κολλώδεις ἀποκρίνοντα τοὺς ἰχῶρας, ἀμυγδαλίνῳ. τὰ δὲ περὶ ῥῖνα καὶ μυκτῆρας, τοῖς διὰ στυπτηρίας, καὶ σμύρνης, καὶ ἀλόης. ἐρυσιπέλατα δὲ, γλαυκίῳ, ἢ χυλῷ ἀρνογλώσσου, ἢ πολυγόνου, ἢ στρύχνου, ἢ κωνείου, ἢ ἀκακίας, ἢ ὑποκύστιδος. πάντων δὲ ἄμεινον, ἡ ὑεία χολὴ, κατάχρισμα ἐρυσιπελάτων. τὰ δὲ ἔνυγρα, τοῖς λιπαροῖς, οἷον στέατι, βουτύρῳ, κηρῷ τυῤῥηνικῷ σὺν ῥοδίνῳ. αἰδοῖα δὲ, τοῖς στύφουσιν ἱκανῶς, καὶ λεπτύνουσιν, οἷον, ἢ μέλιτι μετὰ λεπίδος χαλκοῦ, ἢ ἀλόῃ σὺν οἰνομέλιτι. ἄμεινον δὲ καὶ βράθυ 47) παραπλέκειν τῇ ἀλόῃ. τὰ δὲ οἰδοῦντα τῶν μερῶν ὑδρωπικῶς, ἢ ἄλλως, κιμωλίᾳ μετὰ ὄξους, ἢ τρυγὸς οἴνου ὑγρᾶς καταχριστέον, ἢ αὐτῇ τρυγί. τὰ δὲ καταπίμελα σώματα, μέλιτι καταχριστέον ὅλα, συμπεπλεγμένων ἁλῶν αὐτῷ. βέλτιον δὲ ἐπὶ τῶν τοιούτων σωμάτων, καλάμου δρόσῳ. μυεμηκίας 48) δὲ, ἡλιοτροπίου, ἢ χελιδονίου, ἢ βατραχίου χυλῷ χριστέον. ἐπινυκτίδας δὲ, ὀπῷ κυρηναϊκῷ, ἢ παρθικῷ, σὺν οἴνῳ γλυκεῖ, ἢ κονίᾳ ἀσβέστῳ σὺν ἐλαίῳ, ἢ κορίου χυλῷ χρίομεν. σκώληκας πεπηγότας

Unguen aurium, quae inflammatione obsideantur.

Aures inflammatae, ac praecipue ex plaga, colla cum aqua, aut myrrha cum vino, aut manna cum vino illinuntur. Exanthemata vero capitis, postquam derasum caput fuerit, cimolia cum aceto, aut betae fucco oblinimus: quae humidiora funt, cedria: quae glutinofas fanies excernunt, amygdalino ungimus: quae nafum et nares obfident, unguine, quod ex alumine, myrrha, et aloë conftat, curantur. eryfipelati vero glaucium, vel fuccum plantaginis, vel herbae fanguinalis, aut lentifci, aut cicutae, aut acaciae, aut hypocyftidos adhibemus. fed fuillum fel ad erysipelata eft omnium accommodatiffimum. humida vero pinguibus, ut fevo, butyro, cera Tyrrhenica cum rofaceo oblinimus. pudenda vero valde adftringentibus, et attenuantibus, ut melle cum fquama aeris, aut aloë cum vino mulfo: fed melius eft brathy aloë infpergere, atque illinere. intumefcentes vero partes in hydropicis, aut aliis generibus morborum, cimolia cum aceto, aut cum fece vini liquida, aut ipfa fece ungimus. Corpora vero praepinguia funt tota melle, cui fal admixtus fit, illinenda. fed melius eft, in ejusmodi corporibus, ut calami rore utamur. Myrmecia vero heliotropii, aut chelidonii, aut batrachii fucco inun-

46) Intelligitur καταχριστέον, aut fimile aliquid. Ceterum hoc capite non folum de auribus, fed de pluribus corporis partibus agit.

47) Dioscor. 1, 89. p. 106.

48) V. Paul. Aegin. 4, 15.

49) πυτίᾳ ἥκω. πρὸς οὗτινος οὖν ζώου περιχριομένη ἀνάγει. τὰ δὲ ψωρώδη, καρδάμῳ σὺν ὄξει. ἐπὶ δὲ τῶν πυρικαύστων, 50) ὥστε μὴ φλυκταινοῦσθαι, σμύρνῃ οἴνῳ συλλεανθείσῃ. ποιεῖ δὲ καὶ σχιστὴ στυπτηρία σὺν ὄξει καὶ κονίᾳ, ἄσβεστος σὺν ὕδατι. ὀνίνησι δὲ καὶ παρωνυχίας 51) ἄκρως στυπτηρία ὑγρὰ καταχριομένη. χείμεθλα 52) δὲ οὐκ ἐᾷ γενέσθαι λιβανωτὸς σὺν στυπτηρίᾳ καὶ ὑείῳ στέατι χριόμενος. πρὸς δὲ τὰς ψωριάσεις, καὶ κνισμοὺς, σταφὶς ἀγρία σὺν θείῳ ἀπύρῳ καὶ ὄξει. πρὸς δὲ τὰς ὀγκώδεις ὑπεροχὰς, ὑοσκυάμου χυλῷ. πρὸς δὲ τὰς ἐν δακτυλίῳ καὶ αἰδοίοις ὑπεροχὰς, στυπτηρία σχιστὴ μετὰ χαλκάνθου καὶ σμύρνης στακτῆς.

ΚΕΦ. κη.

Περὶ μαλαγμάτων. Ἐκ τοῦ αὐτοῦ λόγου.

Διαφοραὶ τῶν μαλαγμάτων εἰσὶν αἱ μέγισται τρεῖς. τὰ μὲν γὰρ διά τινων ξηρῶν σκευάζεται, ῥιζῶν λέγω, καὶ βοτανῶν, καὶ σπερμάτων· τὰ δὲ, διὰ τῶν μεταλλικῶν, η μεταλλικοῖς ἀναλογούντων· τὰ δὲ, καὶ δια χυλῶν, στεάτων, καὶ δακρύων 53), καὶ των τῇ ξυνῇ 54) μάλαξιν δεχομένων. τὰ μὲν ουν δια τῶν

guntur. Epinyctidas vero liquore cyrenaico, aut parthico cum vino dulci, aut calce viva cum oleo, aut coriandri fucco illinimus. Vermes concretos coagulum * leporis, aut alterius cujusuis animalis illitum educit. fcabie obfeffas partes cardamo cum aceto illinimus. ad ambufta vero, ne puftulae excitentur, myrrha ex vino laevigata valet. ad idem facit alumen fciffile ex aceto, et lixivio: et calx viva ex aqua. Unguium quoque reduuias alumen liquidum illitum mire juvat. Perniones nafci non finit thus, et alumen, et feuum fuillum illitum. Ad fcabiei moleftias, et pruritus facit herba pedicularis cum vivo fulfure, et aceto. ad tumidas eminentias alterci fuccus valet: ad eminentias vero, quae in ano et pudendis funt, alumen fciffile, cum myrrha, ftacte, et atramento futorio facit.

De malagmatis. Ex eodem libro. Cap. 28.

Malagmatum tres funt maxime differentiae. alia enim ex quibufdam ficcis, radicibus, inquam, herbis, et feminibus fiunt: alia ex metallicis, aut iis, quae metallicis proportione refpondent: alia ex fuccis, fevo, lachrymis, et quae * conjuncte molliuntur. quae autem ex ficcis conficiuntur, coctione

49) Scribendum πιτύᾳ. Rasarius videtur volu sse: πιτύᾳ λαγῶ, feu, λαγωοῦ, ἢ ἄλλου οὑτινοσοῦν.

50) Habet Plato p. 498.

51) V. Paul. Aegin. 3, 81. De plerisque horum morborum evolui quoque poteft Pollux. lib. 2. cap. 4. In Codice eft, παρονυχίας.

52) Varie hoc fcribitur, χέμετλον, χίμεθλον, χείμεθλον, χύμεθλον, χείμετλον.

53) Arborum, nimirum, et plantarum.

ξηρῶν σκευαζόμενα, οὐδέποτε χρείαν ἑψήσεως ἔχει· ἀλλὰ αὐτὸ μόνον τήξεως δέεται. χρὴ δὲ ἐπὶ τούτων καταχεῖν τὰ ξηρὰ τῶν τηκτῶν, διὰ τὸ φρύγεσθαι τὰς ῥίζας καὶ τὰς βοτάνας ὑπὸ τῆς ἑψήσεως. εἰ δὲ ὀλίγον τὶ μέρος ἐμβάλλοιτο τῶν ξηρῶν, προεψεῖν χρὴ τὰ λοιπά. ἔπειτα μετὰ τὴν αὐτάρκη ἕψησιν, ἄραντες ἀπὸ τοῦ πυρὸς, ἐμβάλλειν τὰ ξηρά. τὰ δὲ διὰ τῶν μεταλλικῶν, καὶ τῶν τηκτῶν, ὅπως χρὴ κατασκευάζειν, ἐν τῷ περὶ ἐμπλάστρων παραδώσομεν τόπῳ. ἁρμόζει μὲν τοῖς ὑποχονδρίοις καὶ τοῖς μέσοις πᾶσι κοινῶς μὲν, τὰ διὰ τῶν ξηρῶν· ἰδίᾳ δὲ στομάχῳ μὲν ἀτονοῦντι, ἢ ἀνορεκτοῦντι, ἢ ἀπεπτοῦντι, ἢ ἐμπνευματουμένῳ, τὰ διὰ σπερμάτων, τὰ διὰ μελιλώτου, τὰ διὰ σαμψύχου. ῥευματιζομένῳ δὲ, ἢ πυρουμένῳ, τὰ διὰ οἰνάνθης, τὰ διὰ στυπτηρίας, τὰ δι' ὀμφακίου. σπληνὶ δὲ καὶ ἥπατι, τὰ διὰ 55) μυροβαλάνου, τὰ διὰ ἀμμωνιακοῦ, ἰξοῦ, ὄξους, ἀσβέστου, καρδαμώμου, νίτρου, ῥίζης καππάρεως. θώρακι δὲ, ἐν μὲν αἵματος ἀναγωγαῖς, τὰ στύφοντα, οἷον, τὰ διὰ στυπτηρίας, οἰνάνθης, ἰτέου, ἀσφάλτου. ἐν δὲ φθίσεσι, τὸ διὰ δαφνίδων, τὸ διὰ πρασίου, τὸ διὰ καρδαμώμου, τὸ διὰ κονίας. ταῦτα καὶ ἰσχιαδικοῖς ἁρμόζει· ἐπὶ δὲ κεφαλῆς, τὸ διὰ δαφνίδων, τὸ διὰ κάχρυος. εἰρήσθω δὲ ταῦτα παραδείγματος ἕνεκεν. ἐπεὶ 56) δὲ ἐν ἄλλοις ἄλλως πλήρεις εἰσὶν αἱ δυνάμεις τῶν πρὸς ἕκαστον ἁρμοζόντων μαλαγμάτων. τοῖς δὲ διὰ στεά-

nunquam egent, sed solum liquefactione. in hoc genere sicca sunt liquabilibus affundenda, quoniam radices et herbae decoquendo frigerentur. si vero exigua portio aridorum imponatur, caetera erunt prius decoquenda, et cum ea satis cocta fuerint, ab igni detrahentur, et sicca adiicientur. Quae vero ex metallicis et liquabilibus fiunt, quo modo paranda sint, tum exposuimus, cum de emplastris loqueremur. Caeterum, quae ex siccis constant, hypochondriis, et omnibus mediis partibus communiter, et praecipue stomacho imbecillo, aut non appetenti, aut non concoquenti, aut flatus pleno conueniunt, ut quae ex feminibus, quae ex fertula campana, quaeque ex sampsucho constant. defluxione vero laboranti, aut aestuanti, quae ex oenanthe, quae ex alumine, quaeque ex omphacio fiunt. Lieni vero et iecori conueniunt ea, quae ex myrobalano, ex ammoniaco, ex visco, ex aceto, ex calce, ex cardamomo, ex nitro, ex radicibus capparis conficiuntur. Pectori et sanguinis reiectationibus adstringentia sunt idonea, ut quae ex alumine, ex oenanthe, ex salicibus, ex bitumine parantur. ad tabem facit, quod ex baccis lauri, quod ex marrubio, quod ex cardamomo, quodque ex lixivia fit: quae etiam ischiadicis conueniunt. at capiti, quod ex baccis lauri, quodque ex ca-

54) ξυνῇ Rasarius pro adverbio accepit. Sed ita τῇ non habet locum. Ego pro dativo accipio, ac de instrumento aliquo, quo medicamenta molliuntur, sive terendo, sive tundendo, etc.

55) Vide ad Geopon. p. 1260.

56) Malim: ἐπειδὴ ἐν. Alias ἐπεὶ δὲ non habebit verbum, quod huc referatur. Rasarius de suo quaedam addidit.

τῶν καὶ διὰ κηρῶν, ἰδίως ἐπὶ νεύρων, καὶ ἄρθρων ἐσκληρυμμένων χρώμεθα. καὶ τούτων δὲ παρὰ πᾶσιν αἱ γραφαὶ δεδημοσιευμέναι εἰσί. τῶν δὲ διὰ μεταλλικῆς ὕλης σκευαζομένων ἡ χρῆσις, ἐπὶ κώλων ἐσκληρυμμένων, ἐπί τε τῶν διαφορήσεως δεομένων.

КЕФ. κθ.

Περὶ 57) ἀκόπων. Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἄκοπα εὔχρηστα, ἤτοι ἐφ' ὧν προσμόνου καὶ παρεδρευτικῆς λιπάνσεως χρεία, τῶν ἐμβροχῶν οὐδὲν μέγα δυναμένων, διὰ τὸ περιῤῥεῖν, ἢ ἐφ' ὧν ἄθετον τὸ τῶν ἐμβροχῶν εἶδος, διὰ τὸ ἐγκεχρονικέναι τὰ πάθη, οὕτω μετὰ τὰς ἐμβροχὰς παραλαμβανομένων τῶν ἀκόπων, ὡς παραλαμβάνεται, μετὰ κηρωτὰς, τὰ μαλάγματα. διαφοραὶ δὲ τῶν ἀκόπων τρεῖς, θερμαντικαὶ, μαλακτικαὶ, ἀμυττικαί. τοῖς μὲν οὖν θερμαίνουσι χρώμεθα ἐν ὀξέσι νοσήμασιν, ἐπειδὰν νεύρων πεῖσιν δι' ὑποψίας ἔχωμεν, ἢ ἐπειδὰν περιψυγῇ δυσεκθερμάντως τὰ ἄκρα, ἢ ἱδρώτων μετὰ ψύξεως ἐνοχλούντων. τοῖς δὲ μαλάσσουσιν, ἐπὶ τῶν χρονίων νοσημάτων. τοῖς δὲ ἀμύσσουσιν, ἐπί τε τῶν δυσεκμοχλεύτων, χρονίων καὶ νωθρῶν, ἐφ' ὧν δὴ καὶ σιναπισμὸν εὐδοκιμάζομεν· τὴν δὲ ὕλην, τήν τε ἀμύσσουσαν, τὴν 58) θερμαίνουσαν ἐν τῷ περὶ ἐμβροχῶν καὶ ἐμπλάστρων ἐξεθέμεθα τόπῳ.

chrye conftat. Haec autem exempli caufa dicta fint, quoniam alibi, quae facultates fint malagmatum, ad fingulas res accommodatorum, explicatum eft. Quae ex adipe et cera fiunt, iis praecipue in neruis et articulis obduratis utimur. et horum descriptiones apud omnes funt vulgatae. ea denique, quae ex materia metallica parantur, artubus obduratis, et digeftione per halitum indigentibus adhibentur.

De acopis. Ex eodem libro. Cap. 29.

Acoporum commodus eft ufus, vel in iis, qui permanente et affidente impinguatione indigent, cum madefactiones propter earum defluxum, nihil magnopere poffint: vel in iis, quibus propterea, quod morbi inueterarint, madefactiones minime funt idoneae. in quo genere fic poft madefactiones acopa adhibentur, sicut etiam malagmata poft cerata. Acoporum funt tres differentiae: calefaciunt, molliunt, cutim fcarificant. calfacientibus in acutis morbis utimur, ubi neruos laefum iri fufpicio eft: vel cum extrema refrigerata fint ita, ut difficulter calfieri queant: vel cum fudores cum perfrictione aegrum vexant. Mollientibus vero in morbis diutinis. Scarificantium ufus eft in diuturnis morbis, qui difficulter amoventur: fegniores funt, in quibus etiam finapifmum commendamus. Materiam vero fcarificantem, et calfacientem tum fumus perfecuti, cum de madefactionibus et emplaftris differuimus.

57) Nimirum, φαρμάκων. v. Paul. Aegin. 7, 19. Galen. de compos. med. per genera. 7, 11.

58) Malim addere, τε. Τήν τε θερμ.

ΚΕΦ. λ.

Περὶ πταρμικῶν. Τοῦ αὐτοῦ.

Πταρμικοῖς χρώμεθα, ἢ διεγεῖραι τοὺς καταφερομένους σπεύδοντες, ἢ ἐπιστρέψαι διάνοιαν παρακοπτικὴν, ἢ ἔμβρυον, ἢ δεύτερα ἐκβαλεῖν θέλοντες, ἢ ἀκίδας λανθανούσας ἐν θώρακι φωτίσαι, ἢ λύγγα παῦσαι, ἢ ἐμπεπτωκότα τινὰ ἐν τοῖς ὠσὶν ἐκβαλεῖν, ἢ χρονίαν διάθεσιν περὶ κεφαλὴν μοχλεῦσαι καὶ διασεῖσαι, ἢ πνεῦμα, τὸ τονοῦν, 69) εἴτε μερικῶς, εἴτε ἐν παντὶ τῷ σώματι, διαναστῆσαι καὶ τονῶσαι, οἷον, ἐν παρέσει, ἐν ἀποπληξίᾳ, ἐπιληψίᾳ. ἔστι δὲ πταρμικὸν, καστόριον λεῖον. δεῖ δὲ πτεροὺς βρέξαντας καὶ ἀναλαβόντας τὸ καστόριον, ἐντιθέναι τῇ ῥινὶ, καὶ στρέφειν, καὶ πιέζειν μετὰ τὴν στροφὴν τοὺς μυξωτῆρας. εἰ δὲ συντονώτερον χρῆσθαι θέλοιμεν, πέπερι καστορίῳ συμπλέξομεν· εἰ δὲ μᾶλλον, στρούθιον πυρέθρῳ, ἢ σταφίδι ἀγρίᾳ μετὰ πεπέρεως· λευκὸν δὲ ἔστω τὸ πέπερι. σίνηπι δὲ ἀνεπιτήδειον. συμπληροῖ γὰρ τὴν κεφαλήν. δεῖ δὴ τοῖς δυναμένοις ὑπακοῦσαι προστάσσειν, ἐπισπᾶσθαί τε εἴσω τὸ πνεῦμα, καὶ ἀντικρὺ φωτὸς προσηνοῦς, ἢ πυρὸς, ἢ ἡλίου βλέπειν. βέλτιον δὲ, κατακειμένοις ὑπτίοις, καὶ κατὰ

De iis, quae sternutamenta excitant.
Cap. 30.

Sternutamenta excitantibus utimur, vel ut eos, qui nimia propensione in somnum detinentur, excitare festinemus, vel ut mentem desipientem ad statum redigamus, vel ut foetum, aut secundas expellamus, vel ut aculeos, qui in pectore latent, in aspectum adducamus, vel ut vertiginem sedemus, vel ut aliquid expellamus, quod in aures conciderit, vel ut diuturnam affectionem, quae in capite resideat, amoliamur, et discutiamus, vel ut spiritum prolapsum sive in parte, sive in toto corpore erigamus, et roboremus, ut in resolutione, in morbo attonito, et morbo comitiali. Excitat autem sternutamenta castoreum laevigatum. penna madefacienda est, et ea castoreum excipiendum, ac in nares indendum. et postquam pennam in naribus versaris, nares comprimendae sunt. si maiore uti velimus, castoreo piper addemus. si etiam vehementiore, struthium pyretho, aut uuam taminiam piperi admiscebimus. in quo casu piper album adhibendum est. sinapi vero non est accommodatum, quoniam caput replet. praeterea iis, qui dicto audientes esse possunt, imperandum est, ut spiritum intro attrahant, et mansuetum lumem, aut ignem, aut solem adversum intueantur. Melius est etiam, ut aegrotis supinis, et sursum versus recumbentibus, quam sedentibus, sternutamentum excitans

69) Immo contrarium, ἀτονοῦν.

ποσὸν ἀναῤῥόποις προσάγειν τὸ πταρμικὸν, ἤπερ καθημένοις, καὶ μετὰ τοῦτο, περιπατεῖν τοὺς δυναμένους κελεύειν, ἄνω βλέποντας, καὶ λούειν, 70) ἐφ' ᾧ λουτρῷ δυνατὸν χρῆσθαι κατὰ κεφαλῆς μετὰ ἐξαντλήσεως πολλῆς. καιρὸς δὲ, ἐπὶ τῶν καρουμένων, ἢ καταφερομένων, ἢ λυζόντων, ὁ τῆς ἐπείξεως. ὁ δ' αὐτὸς; κἀπειδὰν δεύτερα ἐκβάλλειν, ἢ ἔμβρυον ἐναποτεθνηκὸς δέοι. μὴ ἀσυνέργητος δὲ ὁ πταρμὸς ἔσω, ἀλλὰ καὶ, πεσόντων 71) ἐκβολίων προπαραληφθέντων, ἢ καὶ ἐγκαθίσματος, οὕτω τὸ πταρμικὸν προσαγέσθω. ὁ δὲ αὐτὸς καιρὸς καὶ ἐπὶ τῶν ἄλλων, καὶ ἐπὶ τῶν παρεμπεπτωκότων τοῖς ὠσίν. ἐν πυρετοῖς δὲ, ὁ τῶν ἀνέσεων. ἐπὶ δὲ τῶν χρονίων παθῶν, ὁ τῶν διαλειμμάτων. δεῖ δὲ τῶν τε μεταγόντων τὴν ὕλην βοηθημάτων, οἷον, φλεβοτομίας, καθάρσεως, κλυσμοῦ, ἐμέτου, τῶν τε τοπικῶν, τῶν τε μειζόνων, σικύας, ἀρτηριοτομίας, βδελλῶν, σιναπισμοῦ, ὕστερον παραλαμβάνεσθαι τὰ πταρμικά.

medicamentum imponamus: cumque fumferint, deambulent, si modo posfint, furfumque refpiciant. quique lavari poffunt, laventur ita, ut caput large perfundatur. In caro, et cataphora, et fingultu tempus accommodatum eft, ut feftinemus. Idem eft, cum fecundas, aut infantem mortuum expellere oporteat. ne fit autem fternutamentum inefficax: fed et ubi exciderint iam medicamenta, quae abigendo foetui prius fumta fuerint, vel etiam infeffus, ita fternutamentum ciens medicamentum admoveatur. Idem quoque tempus in aliis obferuandum eft, et item in iis, quae in aures exciderunt. at in febribus tempus eft commodum, cum febris fe remittit: in morbis diuturnis, in diebus intermittentibus. ii vero, qui praefidiorum materiam perfequuntur, ut venae fectionis, purgationis, clyfteris, vomitus, et localium, et maiorum, ut cucurbitulae, arteriarum fectionis, hirudinum, finapifmique, ea quae fternutamenta cient, adhibere poftremo loco debent.

Κ Ε Φ. λα.

Περὶ 72) ἐμπασμάτων. Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἐμπάσματα, καὶ καταπλάσματα, καὶ διαπάσματα διαφέρει. ἐμπάσματα γάρ ἐστι, τὰ ὑπὲρ ἱδρώτων ἀμέτρων, ἢ ἄλλης διαφορήσεως, ἢ ὑπὲρ τοῦ ἀμύξαι, ἢ κνίσαι τὴν ἐπιφάνειαν παραλαμβανόμενα· καταπλάσματα δὲ,

De medicamentis, quae infperguntur: quae emplafmata vocantur. Ex eodem libro. Cap. 31.

Emplafmata, cataplafmata, et diaplafmata differunt. emplafmata enim funt, quae, ut immoderati fudores, aut alia per halitum digeftio cohibea-

70) ἐφ' delendum videtur. Alias aliquid hic addendum. Mox fortasse, ἐπαντλήσεως.

71) Cod. πεσσόντων.

72) Ita etiam eft in principio Codicis, in indicibus. Rasarius exhibet ἔμπλασμα. Rurfus caput 32. in iftis indicibus inscribitur: περὶ καταπασμάτων. Item cap. 33. περὶ διαπασμάτων. Alibi vero etiam κατάπασμα confusum eft cum κατάπλασμα. Hoc loco fermo eft de ἔμπασμα, κατάπασμα et διάπασμα. διάπασμα habet Dioscor. 1, 6. pag. 18. 1, 116. pag. 124.

τὰ τοῖς ἕλκεσιν ἐπιβαλλόμενα· διαπάσματα δὲ, τὰ ὑπὲρ εὐωδίας τοῦ χρωτὸς, ἢ παντὸς, ἢ μερικῶς, μασχαλῶν καὶ παραμηρίων ἁρμόζοντα ἐπὶ μὲν οὖν ἱδρώτων ἐνοχλούντων, ἢ διαφορήσεως, χρηστέον ψιμμυθίῳ λείῳ, ἢ γύψῳ, ἢ λιθαργύρῳ, μυρσίνῃ ξηρᾷ λείᾳ, σιδίοις, ῥᾷ συριακῷ, ῥοῦς ξηροῖς λείοις, ἀλφίτοις, ἀμύλῳ, γύρει, κικίδι ὀμφακίνῃ, ἀκακίᾳ· ὑπὲρ δὲ τοῦ κνίσαι καὶ ἀμύξαι ξηροτριβοῦμεν ἐν ἡλίῳ τοὺς ἐμπαθησομένους, καὶ προαναχαλῶμεν ἠρέμα γυμνάσαντες· εἶθ' οὕτως ἐμπάσσομεν, ἐπὶ μὲν ὑδρωπικῶν, ψάμμῳ, τρυγὶ οἴνου κεκαυμένῃ, κιμωλίᾳ, γύψῳ, νίτρῳ, ἁλσίν· ἐπὶ δὲ ἰσχιαδικῶν, καὶ ὀρθοπνοϊκῶν, καὶ τῶν περὶ κεφαλὴν χρονίων, θείῳ, νάπυϊ, καρδάμῳ, κάχρυϊ, πυρέθρῳ, πεπέρει, νίτρῳ.

ΚΕΦ. λβ.

Περὶ καταπλασμάτων. Ἐκ τοῦ αὐτοῦ λόγου.

Καταπλασμάτων δὲ, τὰ μὲν ἁρμόζει ῥυπαροῖς ἕλκεσι, καὶ πρὸς τὸ ἀνακαθάραι, οἷον, χαλκὸς κεκαυμένος, ὄροβος λεῖος, ἀριστολοχία μακρά, 73) πάναξ, καδμία, διφρυγές· τὰ δὲ ὑπὲρ τοῦ καταστεῖλαι. τὰ ὑπερσαρκοῦντα καταστέλλει πρᾴως μὲν, ἰὸς, λεπὶς, μᾶλλον δὲ, ἄσβεστος, τρύξ· ἰσχυρῶς δὲ, μίσυ, χαλκῖτις, χάλκανθος, ἐλατήριον· κογχύλια δὲ κεκαυμε-

tur, aut ut cutis extremitas fcarificetur, aut pruritu tentetur, adhibentur. cataplafmata autem dicuntur, quae ulceribus fuperdantur: diaplasmata vero, quae ad fuavem odorem cuti conciliandum, aut toti corpori tribuendum, aut partibus, ut alis, et femoribus, accommodata funt. Ergo cum fudores, aut digeftio per halitum infeftant, utendum eft cerufla trita, aut gypfo, aut argenti fpuma, myrto ficca laevigata, malicorio, rhoë fyriaco, forbis ficcis tritis, polentis, amylo, polline, galla acerba, acacia. ut autem pruritus et fcarificationem excitemus, eos, quibus emplasmata fuerint admovenda, in fole ficca frictione confricamus, et prius laxamus fenfim exercentes: tum emplafmata adhibemus. atque hydropicos quidem arena, fece vini ufta, cimolia, gypfo, nitro, faleque: ifchiadicos, recta folum eeruice fpirantes, et diuturnis capitis morbis oppreffos, fulfure, finape, nafturtio, cachrye, pyrethro, pipere, et nitro oblinimus.

De cataplasmatis. Ex eodem libro.
Cap. 32.

Ex cataplafmatis alia fordidis ulceribus conveniunt, et ad ea purganda funt accommodata. ut aes combuftum, eruum laevigatum, ariftolochia longa, panax, cadmia, et diphryges: alia comprimunt carnes excrefcentes. Comprimit autem placide aerugo, fquama: magis vero calx, fex: vehementer vero mify, chalcitis, atramentum futorium, elaterium. conchulae vero combuftae

73) In margine: μακρά. Versu 15. ad χρονίων Rasar. addidit νόσων.

να καταπάσσεται, ὑπὲρ τοῦ δήξεις, τὰς ἐφ' ἕλκεσι, παρηγορῆσαι. πίτυς δὲ καὶ ἄκανθα αἰγυπτία καὶ τέφρα, ἐπὶ παραμηρίων.

adhibentur, ut morfus ab ulceribus excitatos mitigent. pinus vero et fpina Aegyptia et cinis femoribus infperguntur.

ΚΕΦ. λγ.

Περὶ διαπασμάτων. Ἐκ τοῦ αὐτοῦ λόγου.

Διαπάσματά ἐστι ψιμμύθιον, ἶρις, γῆ σελινουσία, μυρσίνη ξηρὰ λεῖα, δαφνίδες ξηραὶ, μάννα, στάχυς, φύλλον, 74) ἄμωμον, σχοίνου ἄνθος ξηρὸν λεῖον.

De diaplafmatis. Ex eodem libro. Cap. 33.

Diaplafmata funt ceruffa, iris, terra felinufia, myrtus ficca laevigata, lauri baccae aridae, manna, fpica, folium, amomum, junci odorati flos aridus.

ΚΕΦ. λδ.

Περὶ διαχρίστων. Ἐκ τοῦ αὐτοῦ λόγου.

Διαχρίστοις χρώμεθα ἐπὶ τῶν αἰσθητῶν πόρων, ἐντιθέντες τὰ εἰς αὐτοὺς φάρμακα γλοιώδη τὸ πάχος, λέγω δὲ, ἐπὶ στόματος, ἐπὶ ῥινῶν, ὤτων, ἕδρας, οὐρητικοῦ πόρου· δύναται δὲ τὰ διάχριστα, ἢ ξηραίνειν, ἢ ὑγραίνειν, ἢ στύφειν, ἢ τέμνειν, ἢ λύειν, ἢ πηγνύειν, ἢ λεαίνειν, ἢ ἱστάναι, ἢ μαλάσσειν καὶ παρηγορεῖν ὀδύνας. τοῖς μὲν οὖν ξηραίνουσι χρώμεθα ἐπί τε ἄφθης ἐν τῷ στόματι, καὶ τῶν ἄλλων ὑγρῶν ἑλκῶν, ὁμοίως δὲ καὶ, εἰ κατὰ ῥῖνας, ἢ 75) τῶν ἄλλων πόρων ὑγρὰ ἕλκη, καὶ ἰχωρροοῦντα 76) γένοιτο. ἔστι δὲ τοῦ γένους τούτου, ἶρις λεπτὴ διαχριομένη μετὰ μέλιτος, ὀθόνιον καινὸν κεκαυμένον, τροχίσκος, ὁ διὰ χελιδόνων κεκαυμένων, διάχριστος ἀμόργη ἐλαίου, τρὺξ οἴνου κεκαυμένη καὶ ἀνειμένη ὕδατι ἢ οἴνῳ. τὰ δὲ ὑγραίνοντα διάχριστα ἐπιτήδεια μὲν τοῖς ξηροῖς καὶ ἀνθρακώδεσιν ἕλκεσιν, οἷα

De perunctionibus. Ex eodem libro. Cap. 34.

Perunctionibus utimur in iis meatibus, qui fenfu percipiuntur: in quos medicamenta ad ftrigmenti craffitudinem indimus, ut in os, in nares, in aures, in fedem, in meatum urinae. Horum vis eft, aut exficcans, aut humectans, aut adftringens, aut incidens, aut foluens, aut denfans, aut laevigans, aut fiftens, aut molliens, aut dolorem leniens. ac ficcantibus quidem utimur, in aphthis oris, et caeteris humidis ulceribus. eodemque modo, si in naribus, aut aliis meatibus humida ulcera, et faniem emittentia fint. hujus generis funt iris trita, cum melle illita; linteum nouum combuftum, paftillus ex hirundinibus concrematis, amurca olei, fex vini combufta, et vino, aut aqua refoluta. Humidae vero perunctiones

74) V. Galen. in Glossis p. 88.

75) Forte ἐπὶ inserendum.

76) Habet Erotian. p 22. et alii. Sic eft, αἱμοῤῥοέω. Notatur etiam ἰχωῤῥέω, ut πυοῤῥέω.

μάλιστα ἐν ὠσὶ καὶ ῥινὶ γίγνεται. ὑγραίνεται δὲ τὰ διὰ τῶν χυλῶν, τῶν ὑγραντικῶν σκευαζόμενα, ὧν τὴν ὕλην ἐν τῷ περὶ ἐμβροχῶν ἐπεδείξαμεν τόπῳ· πλὴν πεφυλάχθαι δεῖ τῶν χυλῶν τοὺς ἔχοντάς τι φθαρτικόν. οὐ μόνον γὰρ στόματι, ἀλλὰ καὶ τοῖς ἄλλοις αἰσθητοῖς ἐπιτιθέμενοι πόροις λυμαίνονται. τὰ δὲ στύφοντα, νομαῖς στόματος, καὶ οὔλων πλάδοις, καὶ ταῖς ἑρπηνώδεσι διαθέσεσι, παρισθμίοις τὲ καὶ 77) σταφυλῆς χαλάσμασι, καὶ ἀρτηρίας ῥευματισμοῖς ἐπιτήδεια. ἔστι δὲ καὶ τῶν στυφόντων ἡ ὕλη γνώριμος, τῶν τε ἁπλῶν, τῶν τε συνθέτων. ἐν τούτοις ἐστὶ καὶ ἡ διὰ μόρων, καὶ ἡ διὰ κυτίνων, ἀνθηρὰ 78) δὲ, ἢ διὰ ῥόδων. λεαντικοῖς δὲ χρώμεθα ἐπὶ ἀρτηρίας ξανθείσης 79) ἢ τραχυνθείσης, ἐπί τε φωνῆς βραγχώδους, ἐπί τε γαργαρεῶνος, καὶ παρισθμίων 80) ἠνοιγμένων. ἔστι δὲ τῶν λεαντικῶν, τραγάκανθα, κόμμι, 81) στρόβιλος, σταφὶς γλυκεῖα,

ficcis et carbonum naturam imitantibus ulceribus conveniunt: qualia praecipue in auribus et naribus oriuntur. Humectantur autem perunctiones, cum ex ficcis humectantibus parantur: quorum fyluam, cum de madefactionibus loqueremur, demonftravimus. fed vitandum eft, ne fuccos hujufmodi capiamus, in quibus aliqua vis corrumpendi infit: fiquidem tales adhibiti non folum ori, fed caeteris etiam meatibus fenfibilibus nocent. Quae adftringunt, ulceribus oris depafcentibus, et gingivarum madoribus, et affectionibus herpetis naturam referentibus, itemque tonfillis, et vuae laxationibus, et arteriae defluxionibus accommodantur. adftringentium vero materia, tum fimplicium, tum compofitorum eft omnibus perfpicua. in his eft id, quod ex moris conficitur: quodque ex capitulis punici mali conftat: et anthera, aut confectio, quae ex rofis paratur. Laevigantium ufus eft in arteria exficcata, aut quae afperitatem contraxerit, in voce rauca, in gurgulione, in tonfillis occlufis. ex eo genere eft tragacantha, gummi, nux pinea, vua paffa dulcis, mel crudum, faba frefa cum melle: dulcis radicis fuccus, confectio ex papaveris capiti-

77) Vide Paul. Aegin. 6, 31. In Codice: σταφυλῆς καὶ χαλάσμασι. Hoc καὶ aliquis notavit, ut tollendum. Ultimum ς. vero in σταφυλῆς, alius damnavit, ut legeretur σταφυλῇ.

78) Vide Plin. H. N. 24, 9. Cels. 6, 11.

79) Ita in textu: ad marg. ξηρανθείσης.

80) Rasarius συγκλεισμένων, aut simile quid voluit.

81) Aliquis correxit στρόβιλος. Vide ad Geopon. p. 786. 806.

μέλι ἄπεφθον, ἐρεγμὸς σὺν μέλιτι, γλυκυρίζης χυλὸς, ἡ διὰ κωδύων 82) ἐσκευασμένη, διὰ 83) σκυβελίτου. τοῖς δὲ τέμνουσι καὶ διαιροῦσιν, ἐπὶ συναγχικῶν χρώμεθα, λεπτύναι βουλόμενοι τὰ ἐνοχλοῦντα καὶ ἐμφυσῶντα τὸ περὶ τὸν φάρυγγα, καὶ τὸ περὶ τὸ στόμα. ἔστι δὲ τῶν τεμνόντων διάχριστον, νίτρον σὺν μέλιτι, νάπυ κεχυλωμένον, χυλὸς κράμβης, σπέρμα βήσασα, 84) πύρεθρον, καρδάμωμον σὺν μέλιτι. τοῖς δὲ πηγνύειν δυναμένοις, ἐφ' ὧν καὶ τοῖς ἀναξηραντικοῖς. πήγνυσι δὲ τὰ ψύχοντα. τοῖς δὲ μαλάσσειν ἐπαγγελλομένοις, ἐφ' ὧν καὶ τοῖς ὑγραντικοῖς.

Κ Ε Φ. λε.

Περὶ ὠτικῶν. Ἐκ τοῦ αὐτοῦ λόγου.

Τῶν δὲ ὠτικῶν, τὰ μὲν, ὀδύναις χρήσιμα, τὰ δὲ, ἕλκεσι, τὰ δὲ, 85) πυοῤῥοοῦσι, τὰ δὲ, ἤχοις. ὄπιον μὲν μήκωνος, ἀνιέμενον γάλακτι ἢ ὕδατι, ἐπιτήδειον ὀδύναις, ὁμοίως δὲ καὶ μανδραγόρου χυλὸς καὶ κολοκύνθης, ἔλαιον δὲ, ἐν ᾧ ἐναφέψηται ἤτε σίλφη, τὸ ζῶον, ἢ οἱ ὑπὸ ταῖς ὑδρίαις 86) ὄνοι, ἢ γῆς ἔντερα. ἔτι δὲ, πιμελὴ φώκης, δελφῖνος, βούτυρον, οἱ μυελοὶ τῶν ζώων, σανδαράχη μετὰ μέλιτος, ἀμυγδάλινόν τε, καὶ ῥόδινον, καὶ ἴρινον, καὶ γάρος, στυπτηρία δὲ μετὰ μέλιτος, καὶ κεδρία, καὶ τροχίσκος 87) ἡ ἴρη προσαγορευομένη.

bus, quae ex vino fcybelite fit facta. Incidentibus, et fecantibus utimur in anginis, cum ea, quae nos vexant, et quae inflant, quae ad guttur, et os pertinent, attenuare ftudemus. hoc vero genere continetur nitrum cum melle, finapis in fuccum redacta, fuccus braflicae, femen rutae fylueftris, pyrethrum, cardamomum cum melle. iis vero, quae denfare poffunt, utimur ad ea, ad quae ficcantia diximus accommodari. hujusmodi autem funt, quae refrigerant. Quae vero mollire pollicentur, eifdem, quibus etiam humectantes, conueniunt.

De medicamentis ad aures accommodatis. Ex eodem libro. Cap. 35.

Medicamentorum, quae auribus conueniunt, alia ad dolores fedandos, alia ad ulcera, alia ad aures purulentas, alia ad fonitus accommodata funt. opium papaveris, lacte aut aqua refolutum, doloribus prodeft. ad idem facit mandragorae et cucurbitae fuccus, et oleum, in quo blata animal fit incoctum, aut afelli, qui fub hydriis nafcuntur, aut terrae vermes: itemque pinguedo phocae, delphinique: et butyrum, et animalium medullae: fandaracha ex melle, amygdalinumque et rofaceum, et irinum,

82) In marg. notatur κωδίων. v. Harpocrat. p. 109. Varie fcribitur, uti Stephanus jam in indice thesauri notavit.
83) Nimirum, οἴνου. Codex habet κυβελλίτου. v. Aët. 9, 24.
84) De hoc pag. 319 monitum. Hic in marg. Codicis legitur: βισάσατον, τουτέστι, πηγάνου ἀγρίου. v. Diosc. 3, 47 p. 365.
85) In Cod. eft: πυῤῥοοῦσι. Vide mox.
86) ὄνος in lexico Herodoti explicatur: τὸ περὶ τὰ τῶν ὑδάτων ἀγγεῖα πολύπουν καὶ συστρεφόμενον. Addendum videtur, ξιφίον. Compara Hesych.
87) Περὶ τροχίσκων fupra expofitum lib. 10. cap. 24. Lectio Codicis, quem exhibui, haud dubie mendofa eft Haud dubie Heras, aut, Hieras medicus hic intelligitur. v. Fabr. bibl. Gr. V. XIII. p. 178. Ergo, ὁ Ἥρου προσαγορευόμενος.

πυοῤῥοοῦσι ὠσὶ κατάλληλος 88) σχινίνων τὲ καὶ τερεβινθίνη, καὶ ἡ τετραφάρμακος 89) ἀνεθεῖσα, καὶ ἡ διὰ στεάτων, καὶ ἡ διὰ καδμίας, ἐνιεμένη. 90) ἐπὶ τῶν ἑλκῶν, τῶν ἐν τοῖς ὠσὶ, παραλαμβανέσθω ἔλαιόν τε, ἐν ᾧ γῆρας ὄφεως ἐγκαθήψηται, ἢ κύμινον αἰθιοπικόν. σμύρνα δὲ ἢ λιβανωτὸς, ἢ μέλας ἐλλέβορος, ἢ καστόριον, γλυκεῖ συλλεανθέντα, καὶ ἐνσταζόμενα, ἤχους ἰᾶται.

et garus. alumen quoque cum melle, et cedria, et pastillus, qui Herae dicitur. Acoribus vero purulentis utile est lentiscinum, terebinthina, tetrapharmacum resolutum, confectio ex adipibus, et quae ex cadmia constat, si resoluantur. Ad ulcera vero, quae in auribus sunt, adhibeatur etiam oleum, in quo senecta serpentis sit incocta, aut cuminum Aethiopicum. myrrha vero, aut thus, aut veratrum nigrum, aut castoreum cum passo laevigata, et instillata sonitum persanant.

Κ Ε Φ. λϛ.

Περὶ ὀδοντικῶν. Ἐκ τοῦ αὐτοῦ λόγου.

Τῶν δὲ ὀδοντικῶν τὰ μὲν, σειομένοις ὀδοῦσι, τὰ δὲ, βεβρωμένοις, τὰ δὲ, ὀδυνωμένοις, τὰ δὲ, μεμελαμένοις ἐπιτήδεια. τὰ μὲν οὖν στοματικὰ καὶ διάχριστα, οἷόν ἐστιν, ἡ διὰ μόρων, ἢ διὰ ῥόδων, ἢ ἀνθηρὰ, ἵστησι τοὺς σειομένους. ἔτι δὲ δίφρυγες, 91) χαλκὸς, λεπὶς, σὺν μέλιτι παρατριβόμενα τοῖς ὀδοῦσι. κικὶς τε μέλαινα ἐν ὄξει ἑψηθεῖσα, ὥστε ὑπολειφθῆναι τὸ τέταρτον μέρος, διακλυζομένων τῶν πεπονθότων· ὑγρά τε στυπτηρία. πέπερι δὲ ἐντιθέμενον τῷ διακένῳ τοῦ ὀδόντος. ὀδύνας παρηγορεῖ δὲ καὶ χαλβάνη περιπλασσομένη τῷ ὀδόντι, καὶ κηρὸς σὺν λιβανωτῷ ἄῤῥενι, ὄξος τε διακλυζόμενον, ἰσχάδες λιπαραὶ, καὶ σκόρδον, καὶ σμύρνα ἐγκαθηψημένη. πρὸς δὲ τὸ μὴ μελαί-

De iis, quae dentibus conueniunt. Ex eodem libro. Cap. 36.

Quae dentibus adhibentur, partim concussis, partim erosis, partim dolentibus, partim denigratis conueniunt. stomatica igitur, et perunctiones, ut confectio ex moris, aut quae ex rosis fit, aut anthera, concussos dentes sistunt: idemque faciunt diphryges, aes, squama cum melle, si dentes eis confricentur. galla quoque nigra aceto incocta ita, ut quarta pars relinquatur, prodest, ut eo decocto dentes laborantes colluantur. liquidum etiam alumen idem praestat. Iam et piper in loco inani dentis dolentis impositum, dolorem mitigat. eundem lenit galbanum illitum: et cera cum masculo thure: et acetum, si os eo colluatur, et caricae pingues, et allium, et myrrha incocta. Ne vero nigri fiant, aut corro-

88) Sic, littera ω damnata, et imposita littera ο. Legendum videtur, σχῖνος. Nam σχίνινον adjectivum hic non habet locum.

89) V. Erotian. p. 42. Philo. p. 738. A.

90) Rasarius videtur voluisse ἀνιεμένη.

91) Codex: διάφρυγες. De isto, ac de ἀνθηρὰ superius monitum.

νεσθαι, μηδὲ βιβρώσκεσθαι, τὰ ὀδοντικὰ λεγόμενα σμήγματα ἐπιτήδεια, οἷον, ἅλες σὺν γλήχωνι, ἢ κέρατι ἐλαφείῳ, ἢ σηπίας ὄστρακον, ἢ ὠῶν κέλυφα λελεασμένα.

ΚΕΦ. λζ.

Περὶ τῆς εἰς ἔλαιον ἐμβάσεως. Ἐκ τῶν Ἡροδότου. Ἐκ τοῦ περὶ τῶν ἔξωθεν προσπιπτόντων βοηθημάτων.

Αἱ δὲ εἰς ἔλαιον ἐμβάσεις ἐπιτήδειοι τοῖς χρονίως μετὰ περιψύξεως πυρέσσουσι, καὶ τοῖς κεκοπωμένοις, καὶ τοῖς ἐν τῷ πυρέσσειν ἀλγοῦσι τὰ πρὸς τοῖς ὀστοῖς κείμενα νεῦρα. καιρὸς δὲ πᾶς ἁρμόζων, καὶ ἡλικία, καὶ μᾶλλον ἡ τῶν γερόντων. καὶ ἐπὶ μὲν τῶν μετὰ πυρετοῦ συμπτωμάτων ὠφέλιμος, ὁ ἐν παρακμῇ· ἐπὶ δὲ τῶν τεταρταίων, καὶ ὁ ἐν ἀκμῇ. οἱ δὲ ἐπὶ μέρους, ἐπὶ πάντων ὁ ἐν ἀνέσει· ἐπὶ δὲ σπωμένων, καὶ ἀλγούντων, καὶ ἰσχουρούντων, ὁ ἐν ἐπέξει. δεῖ δὲ τὸ μὲν πέμπτον μέρος τοῦ ἐλαίου πυρὶ θερμαίνειν· τὸ δὲ λοιπὸν ἐν ταῖς τῶν βαλανείων ἐμβάσεσιν. οὔτε γὰρ αὐτάρκως γίνεται θερμὸν τὸ ἐν τοῖς βαλανείοις, οὔτε μὴν καλῶς ὑπὸ πυρὸς θερμαίνοιτο πᾶν. ἄχρηστον γὰρ γίνεται πρὸς δευτέραν χρῆσιν κνισώμενον. 92) ἡ δὲ ἔμβασις πρὸς τὸ μέγεθος τοῦ ἀσθενοῦντος ἡρμόσθω, καὶ ἀποκείσθω ἐν σκηνῇ, ἢ οἴκῳ πάντοθεν συνεχόμενος. 93) ἔσω δὲ καὶ 94) διέδρῳ, ἐφ᾽ οὗ ἐνδρομὶς 95) κείσθω, ἐκ τετραδακτυλι-

dantur, ea fmegmata, quae ad dentes accommodata dicuntur, faciunt: ex quo genere eft fal cum pulegio, aut cornu cervino, aut fepiae tefta, aut ovorum laevigata putamina.

De ingreffu in oleum. Ex Herodoti libro de remediis extrinfecus occurentibus. Cap. 37.

Defcenfus in folium ex oleo conueniunt iis, qui diuturnis febribus cum perfrictione conflictantur: iisque, qui laffitudine fuerunt oppreffi: et iis, quibus, dum febri iactantur, dolent nerui, qui offibus funt admoti. tempus omne accommodatum eft, omnisque aetas, fed magis fenilis. atque in fymptomatis cum febri conjunctis apti funt hujusmodi ingreffus in declinatione. in quartanis vero febribus, etiam in ftatu. particularia vero tempora funt, ut in remiffionibus in omnibus conueniant. in conuulfis vero, et dolentibus, et urinae fuppreffione, ut feftinemus. caeterum quinta olei pars calfacienda eft: reliquum in balnei foliis fit. nam, quod in balneis eft, neque fatis calidum redditur, neque totum rite ad ignem calefieret: fiquidem ad fecundum ufum inutile redderetur: quandoquidem nidorofum fieret. folium vero, in quo oleum fit, ad proportionem aegrotantis

92) Codex: κνισούμενοι.
93) Rasarius videtur voluisse, συγκλειόμενος. Forte, συγκλειομένοις, συγκεκλεισμένοις.
94) ἐν interponendum videtur. Hoc loco, et mox, δίεδρον. Apud Erotian. p. 24. διέδρα.
95) Occurrit quidem hoc vocabulum et apud Pollucem, item apud fcriptores Latinos, ut Iuvenalem, Martialem. Hoc loco videtur notare pannum, fatis crassum et firmum, qui fubfternitur circum in quadrato firmiter annexus lignis, ut aegrotus in ea de loco in locum transportari possit, etiam crassus et obesus. Credo forma fuisse ea, qua funt apud rufticos Rossicos cunabula pensilia. Vidi ejuscemodi etiam in Polonia, atque, ni fallor, in quibusdam locis Germaniae, credo in Lusatia. Mox cap. 38. recurrit idem vocabulum.

αίων διαστημάτων 96) ἐκτετρημένη, καὶ τὰς ἀρχὰς 97) κατερράφθω ἐπιμήκεσι ξύλοις 98) τετραγώνοις. τούτο δὲ πράττομεν, διὰ τὸ μὴ ῥάδιον εἶναι, τοὺς ἀσθενεῖς πολυσάρκους ἀπὸ τῆς ἐμβάσεως ἐξαίρειν. περιολισθαίνουσι γὰρ αἱ χεῖρες τῶν βασταζόντων. ὁπεριφυλασσοιω 99) τὸ γενέσθαι, ἀνάγκη ἀπρὶξ τῶν σωμάτων ἐλλαμβανομένους 100) περὶ 1) θαλάσσης ἐμποιεῖν σαρξὶ λεπταῖς καὶ ἀσθενέσι. καὶ τὸ κατακλίνεσθαι δὲ ἐπὶ γυμνῆς τῆς ἐμβάσεως, ἔχει μὲν καὶ τὴν ἀπὸ τῆς σκληρίας δυσέργειαν· 2) ἔχει δὲ καὶ τὴν ἀπὸ τῆς πυρώσεως. 3) ὁ γὰρ χαλκὸς θερμαίνεται μᾶλλον. διὰ τοῦτο 4) γένοιτο κελεύομεν, καὶ σπόγγους ὑποστρωννύναι, πρὸς τὸ τὴν ἐπέρεισιν κατὰ μαλακῶν σωμάτων γενέσθαι. αἱ δὲ ἐκτρήσεις παραλαμβάνονται, χάριν τοῦ μετὰ 5) τὴν κομιδὴν ἀποῤῥεῖν τὸ ἔλαιον. κατακλιθεὶς οὖν ἐπὶ τοῦ διέδρου, καὶ ἐξομαλισθεὶς διὰ μαλακῆς καὶ συμμέτρου τρίψεως, ἐπειλιθέντων 6) ξύλων, ἐντιθέσθω εἰς τὸ ἔλαιον ἐκ τοῦ πρὸς λόγον. ἐπειλίσθω δὲ ἐπὶ

magnum esse debebit. Locetur autem in tentorio, aut domo ex omni parte inclusus. esto autem in sella, super qua endromis ponatur perforata per intervalla quaternum digitorum: cujus initia consuta sint lignis quadratis oblongis. id quod facimus, quia aegroti, qui carnis mole sunt onusti, non facile a solio auferantur. dilabuntur enim gestantium manus. quod si cavendum sit, ne fiat, manibus tenaciter apprehendenda sunt corpora: quae res carnes tenues et imbecillas contundit. praeterea decubitus in nudo solio difficilem actionem, tum sua duritia, tum vero fervore efficit. aes enim vehementius incalescit. quam etiam ob rem jubemus, ut spongias substernant, ut ad mollia corpora aegroti adnitantur. foramina vero adhibentur, ut, postquam fuerint deportati, oleum defluat. Ergo constitutus aeger in sella, caroque reddita aequalis per mollem et moderatam frictionem fuerit. revolutis autem lignis in oleum

96) Codex: ἐκτετηρημένη.

97) Id est, κατὰ τὰς ἀρχάς, *circum circa, in extremis partibus.*

98) Ista lingua aegrotum portantibus sunt pro manubriis.

99) Ita, sine accentibus, est in Codice. Conjici possit: βασταζόντων, ὅπερ εἰ φυλάσσοιο γενέσθαι, ἀνάγκη. Aut: ὅπερ εἴ τις φυλάσσοιτο γενέσθαι. Τῷ περιφυλάσσεσθαι non opus est. sufficit φυλάσσεσθαι, cum praesertim alterum non legerim. Forte παραφυλάσσεσθαι.

100) ἐλλαμβάνεσθαι habet Philo. p. 7. E. διάκων ἐνειλημμένος p. 87. E. ἐνειλημμένος ἀπρὶξ ἔχεται. p. 137. D. ἐλλαβομένοις ὧν ἐρῶσιν. p. 417. A.

1) Sic in Codice. In margine tamen: περίθλασιν. Ego malim, περιθλάσεις. Graeci enim et Latini in his solent uti plurali numero.

2) Δυσεργία est difficultas aliquid perficiendi, aut vana et infelix alicujus operis tractatio. Conjicio ergo: δυσχέρειαν. De agendo hic non est sermo. Aegroti potius patiuntur.

3) Nimirum, δυσχέρειαν. nullo modo, δυσεργίαν, aut, ut hic scribitur, δυσέργειαν.

4) Rasarius hic astute se expedivit. Quod enim obscurum erat, silentio praetermisit. γένοιτο non habet, quocum copuletur. Sententia est: ὅπως οὖν μὴ τοῦτο γένοιτο, κελεύομεν. Aut, διὰ τοῦτο, ἵνα μὴ τοῦτο γένοιτο. Sed duplex τοῦτο molestum est. Ita tamen facile excidere potuit, ἵνα μὴ τοῦτο, scriba ab altero τοῦτο ad alterum transiliente.

5) κομιδὴ est transportatio aegroti. Displicet ergo mihi μετὰ, *post*. Malim, κατὰ, in illa ipsa transportatione. Dum aegrotus elevatur et transfertur.

6) ἐπειλιχθέντων, ab ἐπειλίσσω. Mox ἐπειλισσέσθω.

τὸ ἐναντίον τὰ ξύλα, μέχρι τοῦ κατὰ τῶν ὑποκειμένων σπόγγων τεθεῖναι. μετεωρότερα δὲ τὰ πρὸς τῇ κεφαλῇ γινέσθω. ἡ δὲ πρώτη 7) δεῖξις τοῦ ἐλαίου προσηνὴς ἔστω· μείναντες δὲ πρὸς βραχὺ ἐν ἠρεμοῦντι τῷ ὑγρῷ, κινήτωσαν τὸ ἔλαιον δι' ἑαυτῶν. καὶ οἱ παρόντες δὲ ἐκ τοῦ πρὸς λόγον προσαντλήτωσαν. εἰδέναι 8) γὰρ ὅτι πολλὴ, καὶ παρὰ προσδοκίαν, ἐκ τῆς κινήσεως ἐγείρεται θερμασία. εἰ δὲ ζεστοτέρας κράσεως δέοιντο, ἐπιχυτέον τὸ θερμότερον· τὴν δὲ κατάχυσιν πρὸς τοῖς ποσὶ, καὶ πρὸς τῇ ἐμβάσει ποιητέον. δεῖ δὲ καὶ καταδύνειν 9) ἐξαντλούμενος τὴν κεφαλὴν κατέχοντας εὐαφεῖ σπόγγῳ πρὸ τῶν ὀμμάτων. τὸ δὲ μέτρον τοῦ χρόνου ἐπὶ τῶν λύσεως χάριν, ῥίγους, ἢ πυρετῶν, ἢ ἐμπνευματουμένων, ἢ 10) καλᾶς διοικούντων τὴν τροφὴν, ὁριστέον, 11) κατὰ μὲν τὰς ἀρχὰς, τῇ τῶν σωμάτων ἀραιώσει, ἐκδεχομένους νοτίδα περὶ 12) τῷ προσώπῳ· ὕστερον δὲ καὶ πλείονι χρόνῳ ὑποβλητέον. ἰστέον δὲ, ὅτι μετὰ τὸ ἐκ τῆς ἐμβάσεως γίνεσθαι, 13) πολλοὶ φέρονται ἱδρῶτες, καὶ πλείους γε τῶν ἐν τοῖς βαλανείοις. διόπερ ἐπὶ πάντων τὴν δύναμιν σκοπὸν ἔχοντας, καὶ τοὺς μετὰ ταῦτα ἐκκριθησομένους ἱδρῶτας συναριθμητέον. εἰ δὲ ἀλγημάτων, ἢ σπασμῶν, ἢ ἰσχουρίας χάριν ἐμβιβάζοιντο, σκοπὸς ἔστω μετὰ τῆς δυνάμεως ἢ 14)

rite imponatur. revoluantur vero in contrarium ligna, usque dum aegrum in subiectis spongiis statuant, parsque ad caput spectans, esto sublimior. prima autem olei oblatio mitis esto. ubi paululum immorati homines in humore quieto fuerint, oleum per se agitent, quique adstant, conuenienter rationi eosdem perfundant. sed non est ignorandum, et multum, et praeter animi sententiam, ex eo motu calorem excitari. si vero feruidiore temperie indigeant, calidius oleum erit affundendum. infusio vero ad pedes, et ad solium fieri debet. praeterea, qui caput perspergit, immergendus est, sed spongia mollis ante oculos admoveatur. Temporis mensura definienda est in iis, qui solutionis causa descendunt in oleum, ut vel rigorem, vel febrim, vel inflationes soluant: et in iis, qui alimentum male distribuunt. in principio enim, ut corporis raritate in facie madidum vaporem capiant: posteo vero, ut longiore tempore immorentur. Praeterea sciendum est, ex hoc ingressu in solium multos sudores, atque adeo plures, quam in balneis excitari, quocirca vires omnium nobis scopi erunt propositi: cum quibus sudorum etiam, qui excernendi erunt, habenda est ratio. si vero dolo-

7) Forte: χῦσις. Mox est, κατάχυσις.

8) Sic omnino. Forte: εἰδέναι δὲ χρὴ seu δεῖ.

9) Equidem conjicio: ἐπαντλούμενον — κατέχοντα εὐαφῆ σπόγγον. Antea erat adeo εὐαφείν. Sed ν. deletum.

10) In marg. κακῶς. Recte! Vel etiam, μὴ καλῶς.

11) Ita in marg. In textu: ἀριστέον.

12) Forte: ἐπί. Sed et istud ferri potest.

13) Rasarius hic aberrat. γίνεσθαι ἐκ τόπου τινὸς, est, *egredi ex loco, relinquere locum.* φέρονται est loco καταφέροντα.

14) Immo, ἤ.

τῶν διοχλούντων ἆρσις ἢ μείωσις. κρίναντες δὲ ἐξάγειν, ἐπειλίσαντες 15) τὰ ξύλα, βαστάσομεν αὐτὸν, καὶ ἐπὶ τοῦ διέδρου θέντες, σπόγγοις θερμοῖς ἐντεθλιμμένοις ἀπάξομεν, εἶτα ὀθονίοις. τὸ δὲ πρόσωπον, ὕδατι γαλακτώδει, 16) εἰ δὲ πρὸς 17) τὸ ἐκλύεσθαι γένοιτο, καὶ ψυχρῷ. ἐπεὶ 18) δὲ τοῦτο εἰς τὴν σκηνὴν διὰ τάχους ἀποκομίζεσθαι δεῖ, ἢ μετάγειν, εἰς ὃν πρότερον ἦσαν 19) τόπον. ἀνάγκη γὰρ ταχέως καθαρὸν καὶ εὔκρατον αὐτοῖς παρατιθέναι 20) τὸν ἀέρα, προσάγοντας καὶ τὴν εἰρημένην ἐπὶ τῶν λειποθυμούντων ἐπιμέλειαν. καὶ τοὺς μὲν περιοδικῶς νοσοῦντας, παρὰ μίαν ἐμβιβάσομεν· τοὺς δὲ διά τι κατεπεῖγον σύμπτωμα καθ' ἡμέραν.

ris, aut conuulfionis, aut urinae fuppreffionis caufa in folium ex oleo defcedant, non modo vires, fed etiam eorum, quae infeftant, elationem, aut diminutionem confiderare conuenit. Ubi autem e folio decreverimus hominem educere, ligna devoluimus, et eum auferimus. cumque in fella fuerit locatus, fpongiis calidis compreffis, tum linteis obductum efferimus:. faciem vero aqua lacteo tepore perfundimus: fique ob exolutionem fiat, etiam frigida. his confectis eum in tentorium deferre celeriter oportet, aut in eundem locum traducere, in quo fuerat prius. etenim in puro, temperatoque aëre quamprimum eum ftatuere neceffe eft, eandemque diligentiam, et curam, quam iis deberi diximus, quos animi defectio premit, adhibere. Eos autem, qui morbis per circuitus redeuntibus tenentur, alternis diebus: qui vero ob aliquod fymptoma urgens hoc praefidio utuntur, fingulis diebus in folium demittemus.

Κ Ε Φ. λη.

Περὶ τῆς εἰς ὑδρέλαιον. 21)

Οἱ δὲ εἰς ὑδρέλαιον καθιέμενοι, εἰ μὲν ἀσθενεῖς εἶεν, διὰ τῆς ἐνδρομίδος ἐμβιβαζέσθω-

De infeffu in folio, ex hydrelaeo. Ab eodem libro. Cap. 38.

Si debiles fint, qui in hydrelaeum fe demitunt, endromide amicti ingre-

15) Ultima fyllaba τες deleta eft. Male! Forte vers. 4. εἴ τε, loco εἶτα.
16) Rasarius de fuo fupplevit: καταχέομεν. Certe hujuscemodi aliquid videtur deesse.
17) Forte: τῷ. *Si eo pervenerit, ut aegrotus deficere videatur.* Pertinent haec ad antecedentia. Rasarius credidit, fingularem etiam esse ἔμβασιν, feu, ἐμβίβασιν πρὸς (reddidit: *ob*) τὸ ἐκλύεσθαι.
18) Legendum eft: ἐπὶ δὲ τούτῳ, *poftea.* Mox corrigendum videtur, ἀποκομίζειν. ἀποκομίζεσθαι non habet locum. Nec enim aegrotus fe ipse transportat. Ἀποκομίζεσθαι reddi fane poteft, *fe recipere* in aliquem locum, fed hic obftat μετάγειν, quod nullo modo accipi poteft de aegroto.
19) Forte: ἦν. Alii tamen hoc accipient de aegroto et ejus comitibus. Sed eft potius transitus a fingulari ad pluralem. Antecedit: βαστάσομεν αὐτόν· Sequitur, ἦσαν· Poftremo additur: αὐτοῖς παρατιθέναι.
20) Immo: περιτιθέναι. Nam παρατιθέναι dicitur de cibis, qui apponuntur.
21) Nimirum, ἐμβάσεως, feu, ἐμβιβάσεως. Indicem pro arbitrio suo mutavit Rasarius. Nam nec in principio Codicis, in indicibus, aliter legitur.

σαν· εἰ δὲ εὔτονοι, καὶ χωρὶς ταύτης. ἐπιμικτέον μέντοι τῷ ἐλαίῳ 22) τῷ ὕδατι ἀκριβῶς. ἔςω δὲ μὴ ἔλαττον τοῦ ἕκτου. τοὺς δὲ 23) κόπων χάριν, ἢ πόνων χρονίων, ὑδρελαίῳ χρησομένους, ἐν τῷ δευτέρῳ τοῦ βαλανείου οἴκῳ ἐμβιβαςέον ἐπὶ πλείονα χρόνον.

Κ Ε Φ. λθ.

Περὶ θαλασσίων 24) Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἑξῆς ἀκόλουθόν ἐςι, καὶ περὶ τῶν θαλασσίων εἰπεῖν. κέχρηνται γὰρ ταῦτα ποιότητι φαρμακώδει, καὶ ἔςιν ἐπὶ πολλῶν παθῶν ὠφέλιμα. 25) δάκνονται γὰρ τὴν σάρκα, καὶ ἀμύττονται τὴν ἐπιφάνειαν, μετὰ 26) πυκνώσεως τῆς ξηρότητος περιττῶς ἐν τοῖς σώμασι γιγνόμενον ὑγρὸν ἀναπίνειν. διὸ καὶ τοῖς ῥευματιζομένοις τὰ ἄρθρα ὠφέλιμόν ἐςιν. ἔςω δὲ ἄκρως χλιαρὰ πρὸς τὸ πλεῖον χρόνον ἐν αὐτοῖς ἐμμένειν. καθαίρει 27) γὰρ τὴν δύναμιν τάχιον τοῦ συμφέροντος ἡ πλεῖον θερμασία. τοὺς δὲ ἐν αὐτοῖς κολύμβους παραλαμβανέτωσαν, διὰ τὰς πρότερον εἰρημένας ὠφελείας. πρόσφορα δὲ ὄντα τοῖς ῥευματιζομένοις τὰ ἄρθρα, καὶ τοῖς πεπονθόσι τὸ νευρῶδες, ἀνεπιτήδειά ἐςι τοῖς περὶ τὴν κύςιν πάθεσιν ἢ ἕλκεσι, καὶ τοῖς γιγνομένοις περὶ τὴν ἐπιφάνειαν ἐξανθήμασιν. ἄριςον δὲ μετὰ ταῦτα λούεσθαι· εἰ δὲ μὴ, πάντως περιχείσθωσαν ὕδατι γλυκεῖ. ἡ γὰρ ὑπολειφθεῖσα τῆς θαλάσσης ἐπὶ τοῦ

diantur: si robusti, etiam sine veste id faciant. Oleum autem cum aqua diligenter miscendum est: nec minus, quam sexta pars esse debet. qui vero, lassitudinis aut diuturni laboris causa, in hydrelaeum descendunt, in secunda balnei domo multum temporis insidere in solio debent.

De marinis. Ex eodem libro. Cap. 39.

Deinceps sequitur, ut de marinis dicendum esse videatur. hae namque medicamentosa qualitate sunt praeditae: et ad multas affectiones valent. mordent hae carnem, et extremitatem cutis vellicant, suaque densatione ac siccitate humorem, qui nimius redundat in corpore, ebibunt atque consumunt. quam ob rem utiles sunt iis, qui articuli defluxione laborant. esto autem hae tepidae ad summum, ut in eis immorari aegroti diutius possint. nam maior caliditas citius, quam par est, vires soluit. natationes vero in eisdem fiant, ut praedictae utilitates capiantur. Cum vero sint utiles iis, quorum artus defluxione tentantur, et quorum male affecti sunt nervi, eaedem sunt incommodae morbis vesicae aut ulceribus, et item exanthematis, quae per superficiem erumpunt. optimum est, ut post earum usum, balneo utantur: sin minus, aqua dulci omnino perspergantur. nam,

22) Immo: τὸ ἔλαιον.

23) Ita in margine: in textu: κόπον, ἢ χαριν, ἢ πόνον χρόνιον, quae inepta sunt.

24) In principio Codicis, in indicibus: περὶ θαλάσσης, h. e. de aqua marina. Mox malim, κέχρηται.

25) Forte: δάκνουσιν, et mox, ἀμύττουσι.

26) Nec haec sana sunt. Forte: ὥςε (seu, τῷ.) μετὰ πυκνώσεως καὶ ξηρότητος τὸ περιττῶς. Sed nec haec satis placent.

27) Forte καθαιρεῖ, et mox, ἡ ἐπὶ πλεῖον, aut πλείων. Sic et antea legendum, πλείω χρόνον.

σωματος ἰκμὰς παχύνεται, καὶ μετὰ δυσαρεστήσεως ἐφίςαται 28) ταῖς γινομέναις διαπνοαῖς. τοὺς δὲ ἐν τῇ θαλάσσῃ κολύμβους ποιείσθωσαν ὅι τε ψυχρολουτοῦντές, καὶ οἱ 29) θερμολουτήσαντες· μεθ' οὓς, πάντες οἱ ἐν ἐλαίῳ ἐπαλειψάμενοι, 30) πᾶσαν τὴν ἐπικειμένην ὑγρασίαν ἀποκλύζειν, ξυέσθωσαν. ἐπεὶ 31) πολλάκις αἱ διαθέσεις ἀπαιτοῦσι πλειόνων ὑδάτων πεῖραν, ἄριστον, εἰ μέλλοιμεν θερμοῖς καὶ ψυχροῖς χρῆσθαι, ἀπὸ τῶν θερμῶν ἄρχεσθαι. προηγέσθω δὲ καὶ τῶν θαλασσίων. 32)

Κ Ε Φ. μ.

Περὶ ἀφιδρωτηρίων. Ἐκ τοῦ αὐτοῦ λόγου.

Τὰ δὲ ἀφιδρωτήρια οὐ μόνον τοῖς ἐξ αὐτῶν ἀναφερομένοις ἀτμοῖς, θερμοῖς οὖσι καὶ ξηροῖς, ἐπιφέρεται τὰς ὠφελείας· τούτου γὰρ χάριν ἦν ἂν τῶν αὐτῶν ποιητικὰ, καὶ τὰ κατὰ μίμησιν ἐπινοηθέντα· ἀλλά τινι ἰδιαζούσῃ δυνάμει. ἐν καθαρᾷ γὰρ καὶ πάντοθεν ἀναπεπταμένῳ ἀέρι λεπτὰ καὶ θυμάδεις 33) ἀναθυμιάσεις φερόμεναι 34) περιτήκουσι τῶν σωμάτων τὰ νοτερὰ, μετὰ τοῦ τὴν λοιπὴν πυκνοῦν σάρκα, καὶ τὸν ὅλον ἔγκον θερμὸν παρέχειν. τονοῦται δὲ καὶ τὸ πνεῦμα, καὶ πᾶν, εἴ τι ἐν αὐτῷ παχυμερὲς καὶ δίυγρον ἔσαι, ἀποκρίνεται

marinae humor, in corpore relictus, crassescit, et cum summa molestia aëris attractionibus, quae fiunt, assidet. natationibus vero in mari utantur ii, qui frigida, quique calida lavantur. post quos, omnes ii, qui oleo se unxerint, ut totam eam humiditatem, quae corpori adhaesit, abluant et abstergant, eradantur. quoniam vero saepenumero affectiones exigunt multarum aquarum experientiam, optimum fuerit, si utendum sit calidis et frigidis, ut ab aquis thermarum, quae marinas etiam praecedant, initium ducamus.

De sudorem evocantibus. Ex eodem libro. Cap. 40.

Quae sudorem evocant, non solum iis vaporibus, quos ex se calidos siccosque mittunt, utilitatem afferunt: (hujus enim causa idem faciunt, quae ad illorum imitationem excogitantur:) sed quadam etiam propria eorum facultate. etenim tenues, evaporantesque exhalationes in puro et undique aperto aëre perlatae morborum sobolem in corporibus eliquant, et reliquum carnis condensant, et totam corporis molem calfaciunt. eadem res spiritum firmat, sique aliquid in eo crassum et perhumidum fuerint, excernit, simulque hu-

28) Codex: ἐπίςαται.

29) Debebant similia esse ψυχρολ. et θερμολ.

30) Videtur deesse, καὶ, ὥςε.

31) δὲ interponendum videtur.

32) Nimirum, τὰ θερμα.

33) Vocabulum θυμώδεις, quod prorsus alienum est, aliquis linea subnotavit: nihil tamen melius substituit. Scribendum arbitror: θυμηδεῖς, *jucundae*, *suaves*. θυμηδὴς vero et θυμηρης idem notant. Prius habet Apoll. Rhod. p. 24. Posterius frequentius occurrit.

34) τηκειν non est hujus loci. περιτακέντος κηροῦ obiter tamen noto ex Gemist. Pleth. p. 17. edit. Lips. Reichardi. Opus est vocabulo, quod notet: *arcere*, *prohibere*, *propellere*. Veluti, ἀποδιώκουσι, περιαιροῦσι, περιδιώκουσι, quod habet Chrysost. VI, 275. D.

ἀναπινόμενον, καὶ τῶν 35) περὶ τὴν κεφαλὴν ὑγρῶν. ἔχει δὲ τὴν δύναμιν, κατὰ τὸ πλεῖστον, ὑπεναντίαν τοῖς αὐτοφυέσι τῶν ὑδάτων. ἐπιτήδεία γε 36) τούτοις τὴν κεφαλὴν ἀλγοῦσι, καὶ σκοτουμένοις, καὶ δυσηκοοῦσι, καὶ ἠχοῦσι, 37) καὶ τοὺς ὀφθαλμοὺς ὑποχεομένοις, καὶ τὸν στόμαχον πλαδῶσι, καὶ ῥευματιζομένοις, καὶ τοῖς περὶ τὴν ἐπιφάνειαν γινομένοις ἐξανθήμασι, καὶ καχεκτικοῖς, καὶ τοῖς κεχρονικόσιν ἐν ἰκτέρῳ, καὶ τοῖς πολλὴν καὶ ἀργὴν σάρκα ἠθροικόσιν. ἀπαλλάττει δὲ καὶ παθῶν δυσιάτων. τοὺς γὰρ κατὰ σάρκα 38) λεγομένους ὕδρωπας πρὸς οὐδὲν ἕτερον ἥξαντας βοήθημα διορθοῦνται. ὠφελεῖ δὲ καὶ τοὺς λεγομένους ἀσκίτας. δεῖ δὲ τοὺς μὲν ἔμμονα καὶ χρόνια πάθη ἔχοντας μετὰ τοὺς παροξυσμοὺς τοῖς ἀφιδρωτηρίοις χρῆσθαι· τοὺς δὲ εἰς τὰ προειρημένα καταπειραζομένους, εὐθὺς ἀνυπερθέτως. οὐ γάρ ἐστιν ὑπειδέσθαι 39) τὴν ἐπὶ τὰ πεπονθότα φορὰν, τὸ 40) τὰς κενώσεις ἐξ ὅλων τῶν σωμάτων κατ' ἴσα γίγνεσθαι. ἐκθλίβεται γὰρ ἀπὸ πάντων τῶν μερῶν τὰ ὑγρὰ, καὶ ξηραίνεται ἡ τὰς ὑγρασίας ἀφιεῖσα σὰρξ, μετὰ πυκνῆς συμπτάσεως, ὡς μηδὲ τὴν ἐπ' αὐτὴν ἐνεχθῆναι 41) δυναμένην ὑποδέχεσθαι. μετὰ δὲ τὰς ἀφιδρώσεις, οἱ μὲν βαλανεῖα καὶ τοὺς ἐν θαλάττῃ κολύμβους παραλαμβανέτωσαν· οἱ δὲ μόνον κολύμ-

morem, qui in capite insedit, consumit. Ut plurimum vero contrariam vim aquis sponte nascentibus id habet. est autem iis accommodatum, qui caput dolent, quique scotomatici sunt, et qui difficulter audiunt, et quos aurium sonitus urgent: itemque oculis suffusis, et stomachi madoribus et defluxionibus: et exanthematis in cute efflorescentibus: malo etiam corporis habitui, et regio morbo inueterato: iis itidem, qui et multam, et segnem carnem aceruarunt. morbos quoque incurabiles sanat. nam hydropem, quem catasarca vocant, nullo alio praesidio utentem, emendat et corrigit. idem juvat eos, quos ascitas nominamus. Qui permanentibus, diuturnisque morbis tenentur, post accessiones uti sudorem evocantibus debent. qui vero praedictorum morborum causa experiuntur, statim, nulla mora interposita, utentur. Neque enim in partibus male affectis licet fluxum intueri, cum inanitiones ex toto corpore aequaliter fiant: siquidem humores ex omnibus partibus expelluntur, caroque humiditates emittens, cum quadam densa compressione siccatur, ut ne id quidem, quod sibi infundi possit, excipiat: * Post exudationes alii in balneas, et ma-

35) Forte: καὶ τὰ τῶν, nimirum, ἀποκρίνεται. Rasarius supplevit ἀφανίζει, aut simile quid. Idem reddit, neglecto genitivo: τὸ ὑγρόν.

36) Forte τοῖς.

37) Nimirum, τὰ ὦτα. Supra pag. 335. 336. de eodem est aliquoties ἦχος.

38) Varia enim genera memorantur, ut τυμπανίας, ἀσκίτης, ἀνὰ σάρκα. Exponit de his Paul. Aegin. 3, 48.

39) Rasarius videtur voluisse, ἐπειδέσθαι. ὑπειδέσθαι est, *suspicere*, *in suspicione*, *suspectum habere*. ὑπεριδέσθαι est *negligere*. Ceterum hic non video nexum cum antecedentibus.

40) Malim, τῷ.

41) Rasarius videtur maluisse ἐγχυθῆναι. Tamen stellulam adposuit, ut in loco dubio.

βους· οἱ δὲ καταιονείσθωσαν 42) θερμῷ ἢ ψυχρῷ. τάξις δὲ τῆς χρήσεως ἐμφερὴς γιγνέσθω τοῖς ἐπὶ τῶν ὑδάτων εἰρημένοις· τὰ δὲ κατα μίμησιν τῶν αὐτοφυῶν ἀφιδρατηρίων ἐπανιούμενα 43) πυριατήρια, κατὰ πολὺ τῆς 44) ἀπαγγελίας λειπόμενα, ἐν τοῖς ἐπείγουσι παραλαμβανέσθω.

ΒΙΒΛ. ιδ. ΚΕΦ. με.

Ἐκ τῶν 45) Ζωπύρου. Περὶ τῶν ὑγρασίαν ἑλκόντων διὰ στόματος, καὶ ῥινῶν, καὶ ὀφθαλμῶν.

Ὑγρασίαν δ᾽ ἐπισπᾶται διὰ στόματος μασσηθέντα καὶ διηττηθέντα 46), πύρεθρον, ποντικὴ ῥίζα, πολίου, λαπάθου, καππάρεως, ἁλικακκάβου, 47) χαμαιλέοντος, ἀφέψημα πιόνων σύκων, δᾳδὸς, μέλι γλυκὺ, μήκων, ἀψίνθιον, ὀρίγανον, ῥαφανὶς, σταφὶς ἄνευ γιγάρτων. ἡ ἑτέρα 48) δ᾽ ὁμοίως, κάχρυ, νάπυ, λευκὸς ἐλλέβορος, ἐλατήριον, θύμον, ἅλες, ὀμφάκιον, ἄνησον, πέπερι, μίσυ, χαλκὸς κεκαυμένος, κόκκος κνίδιος, χάλκανθος, χαμελαία, δαφνίδες, κεδρία, θεῖον, ἐλελίσφακον, κινάμωμον, ἀκάνθου καρπὸς, βάλσαμον, ἀνεμώνη, πάνακες, κάρδαμον, ἀμμωνιακὸν, σανδαράχη, τρὺξ ξηρὰ κεκαυμένη.

Διὰ δὲ τῶν ῥινῶν ἄγει, ἐλατήριον, πέπερι, σεύτλων ὁ χυλὸς, κυκλαμίνου τοῦ φλοιοῦ τῆς

rinas natationes se demittant, alii solis natationibus contenti sint; alii calida aut frigida aqua perfundantur. Ordo autem, qui in iis utendis servandus est, similis sit ei, quem in aquis perscripsimus. Quae vero ad imitationem eorum, quae suapte natura sudorem evocant, excogitantur fomentatiunculae, quae multo minorem utilitatem, quam pollicentur, afferant, cum casus urget, adhibeantur.

Ex Zopyro. De medicamentis, quae humores ex ore, naribus, et oculis trahunt. Lib. XIV. Cap. 45.

Humorem ex ore tum trahunt commansa, tum liquata, pyrethrum, pontica radix, itemque polii, lapathi, cappareos, halicacabi, chamaeleontis, ficuum decoctum, taeda, mel, passum, papaver, absinthium, origanum, radicula, vua passa sine acinis, aut alia eodem modo, cachry, napi, elleborus albus, elaterium, thymum, sal, omphacium, anisum, piper, misy, aes ustum, granum Cnidium, atramentum sutorium, chamelaea, lauri baccae, cedria, sulfur, elelisphacus, cinnamomum, acanthi fructus, balsamum, anemone, panaces, nasturtium, ammoniacum, sandaraca, fex arida combusta. E naribus educunt haec. elaterium, piper, betae succus, et corticis radicis cycla-

42) De hoc jam dixi. Vide indicem.

43) Forte: ἐπινοούμενα.

44) Forte: ἐπαγγελίας.

45) De Zopyro v. Fabr. bibl. gr. Vol. XIII. p. 455. Hic in fine indicis, addendum videtur, καὶ ὤτων.

46) De hoc dubito. Rasarius fortasse voluit διηθέντα.

47) Sic, duplici κ.

48) Rasarius ἡ ἑτέρα voluit. Mihi tamen mira haec loquendi forma videtur. Credo, ἡ ἡμέρα (σταφίς.) Alia est, ἀγρία.

ῥίζης, μέλι, γλυκὺ, θλάσπι, κόκκος κνίδιος, ἀναγαλλὶς, μύρον ἴρινον, ἀνεμώνη, βατράχιον, κεδρία, χύλισμα καρύων πικρῶν, ἐλλέβορος λευκὸς, στρουθίον, ὀμφάκιον, πράσιον, φύλλα κισσοῦ τὰ ἁπαλά. ἔνια δὲ τούτων καὶ πταρμὸν εἰώθε κινεῖν.

Ἀπὸ δὲ τῶν ὀφθαλμῶν ὑγρασίαν ἄγει, μέλι, ὕσσωπος, παλαιὸν ἔλαιον, ἀναγαλλὶς, τό, τε λεγόμενον ἁλῶν λίπος, ὅ τινες ἁλοσάχνην 49) καλοῦσι, δάφνινον χρῖσμα, νάρδος, κασία, κιννάμωμον, κόστος, ὀπὸς μήκωνος σαγαπήνου ὀπὸς, φύλλου χυλὸς, δαύκου, σελίνου, ῥοιῶν, τῶν ἀμυγδάλων, πρασίων, ἐλλεβόρου λευκοῦ, τῆς ποντικῆς ῥίζης, ἀνεμώνης, πηγάνου, καὶ μᾶλλον ἀγρίου, καστόριον, λίθος αἱματίτης, χάλκανθος, ἄνθος χαλκοῦ, στέαρ χήνειον, χαλκὸς κεκαυμένος, χολὴ, σμύρνα, χαλκῖτις αἰγυπτία, θεῖον ἄπυρον, στυπτηρία σχιστὴ, σηπίας ὄστρακον κεκαυμένον, μίσυ, οὖρον, φλοιὸς λιβάνου, σκίλλης τὸ λεγόμενον 50) ὀθόνη καθεψηθεῖσα, ἀμμωνιακὸν, νυκτικόρακος ἐγκέφαλος, ἰχὼρ ἥπατος τραγείου, δάκρυον ἰτέας, ὀμφάκιον, λεπὶς στομώματος. 51)

Τῶν δ' ὠτικῶν προσκλητικὰς δυνάμεις ἔχειν δοκεῖ, μέλι, πέπερι, γλυκὺ, λιβανωτὶς, ἡ κάρπιμος, μετώπιον, καρύων ἔλαιον, οὖρον βοὸς, χολὴ ταύρου, λινόζωστις, σεύτλου χυλὸς, καππάρεως τῶν ῥιζῶν, ἀγρίου πηγάνου, κόκκου κνιδίου, τῆς ἐρινεοῦ ὁ ὀπὸς, βδέλλιον,

mini, mel passum, thlaspi, granum Cnidium, anagallis, irinum unguentum, anemona, ranunculus, cedria, expressio nucum amararum, veratrum album, struthium, omphacium, marrubium, hederae tenera folia. quaedam vero horum sternutamentum quoque excitare consueverunt. Ab oculis vero trahunt humores mel, hyssopum, oleum vetustum, anagallis, id quod salis pinguedinem vocant, quam aliqui salis spumam nuncupant. laurinum unguen, nardum, casia, cinnamomum, costus. liquor papaveris, et sagapeni, folii succus, itemque dauci, apii, punicorum, amygdalarum, marrubii, ellebori albi. ponticae radicis, anemones, rutae, et magis etiam agrestis: castoreum, lapis haematites, atramentum sutorium, flos aeris, adeps anserinus, aes combustum, fel, myrrha, chalcitis Aegyptia, sulfur, ignem non expertum, alumen scissile, sepiae testa cremata, misy, urina, thuris cortex, scillae pars, quae tomentum appellatur, decocta, ammoniacum, nicticoracis cerebrum, sanies hircini iecoris, salicis lachrima, omphacium, squama stomomatis. Per aures evocare videntur mel, piper, * mustum, libanotis fructifera, metopium, oleum ex nucibus, urina bubula, fel taurinum, mercurialis, betae succus, et radicum capparis, et agrestis rutae, et Cnidii

49) Scribitur etiam, ἁλὸς ἄχνη.

50) Apud Dioscoridem p. 305., ubi de scilla agit, nihil ejusmodi reperio. τὸ λεγόμενον non habet locum. Debet esse, ἡ λεγομένη. ὀθόννα memoratur, ut succus, et herba. Vide Dioscor. 2, 174. p. 318.

51) v. Aët. 9, 48. 10, 11.

κασία, χαλβάνη, λευκὸς ἐλλέβορος, ἕρπυλλος, ὀμφάκιον.

ΚΕΦ. ν.

Ἐκ τῶν Ζωπύρου. Ὅσα δι' οὔρων, ἰδίως ἐκ σπληνὸς ἄγει καὶ ἥπατος καὶ νεφρῶν.

Περικλύμενον, τιθυμάλλου σπέρμα, τοῦ χαρακίου, 52) μελάνθιον, κύμινον, θύμου, λευκῆς ἀμπέλου ἀγρίας ῥίζα, κλύμενον, καππάρεως ῥίζα, σπλήνιον, πάνακος σπέρμα, σκόροδον, ἕρπυλλον 53), κύτισος, αἰγυπτία συπτηρία, μηλέα, δρακόντιον, λεπὶς σιδήρου, ἡλιοτρόπιον, 54) σισύμβριον, ἀριστολοχίας ῥίζα, ὀρίγανος, πόλιον, κολοκυνθὶς ἀγρία, βρυωνία, κυκλάμινος, χαλκοῦ ῥινήματα, ἐν οἴνῳ ἀποβεβρεγμένα, 55) ἄσπληνος, ἀνδράχνη, σκορπίου θαλασσίου, πνιγέντος οἴνῳ, τὸ ἀπόβρεγμα.

Τῶν δ' ἀπὸ ἥπατος ἀγωγὰ ὑπάρχει δι' οὔρων, σπέρμα ἄγνου, δαύκου τὰ φύλλα, μαράθου, ὅμοια. βαλσάμου, κενταυρίου, καπνοῦ, γλυκυσίδης ὁ μέλας καρπὸς, ἄνησον πεφωγμένον, φοίνικος ὀστοῦν, δάφνης φύλλα, σύμφυτον, ὑπερικὸν, 56) ὑπνικὸν, 57) ἀψίνθιον, βούνιον, ψευδοβούνιον, σμύρνιον, οἱ δ' ἱπποσέλινον, πευκέδανον, ἀναγαλλὶς, 58) ἡδύοσμος,

grani, caprifici liquor, bdellium, casia, galbanum, veratrum album, serpillum, atque omphacium.

Ex Zopyro. Quae per urinas proprie a liene, iecore, et renibus ducunt. Cap. 50.

Periclymenon, tithymali vallaris semen, melanthium, cyminum, thymum, albae vitis agrestis radix, clymenon, capparis radix, splenium, panacis semen, allium, serpyllum, cytisus, alumen Aegyptium, malus, dracontium, squama ferri, heliotropium, sisymbrium, aristolochiae radix, origanum, polium, colocynthis agrestis, bryonia, cyclaminus, aeris ramenta vino diluta, asplenum, portulaca, dilutum vini, in quo marinus scorpius fuerit suffocatus. Ex iecore vero per urinas ducunt haec, viticis semen, dauci folia, et foeniculi, itemque balsami, centaurii, et capni, et paeoniae niger fructus, anisum tostum, palmulae ossa, lauri folia, symphytum, hypericon, hypnicum, absinthium, bunium, pseudobunium, smyrnium, quod alii hipposelinum vocant, peucedanum, anagallis, menta, oenanthe, pontica ra-

52) χαρακίας τιθύμαλλος. Sunt enim diversa genera. De uno et duplici λλ. in τιθύμαλλος jam monitum est.

53) ἕρπυλλος et ἕρπυλλον legitur.

54) Vide ad Geopon. p. 920. 1261. Schol. ad Theocrit. Id. 11, 10. Nicander Ther. 896. appellat, σίσυμβρον.

55) Alibi scribitur ἄσπληνον.

56) Vide Galen. in Glossis. p. 81.

57) Hoc ignoro. Forte: ὑπήκοον, de quo Dioscor. IV, 65. p. 506.

58) Etiam, ἡδύοσμον.

ἀνάνθη, ποντικὴ ῥίζα, λιβανωτὸς, ὀπὸς σιλφίου, ἠρύγγιον, ἡρακλεωτικὸν κάρυον, κριθᾶν ἀπόβρεγμα.

Ἀπὸ δὲ τῶν νεφρῶν ἄγει δι' οὔρων, τὸ σπέρμα ἑλενίου, σελίνου, πέπερι, μήκων, σταφύλινος, 59) πράσιον, κνῆκος, λιβανωτίδος σπέρμα, τοῦ ἐν τῷ 60) σίτῳ ξιφίου, 61) βρυωνίας τῶν ῥιζῶν ὁ φλοιὸς, ἄγρωστις, σίραιον σηπίας ὠὰ, θεῖον, 62) ἐρέβινθος λευκός.

dix, thus, liquor filphii, heryngium, Heracleoticum, nux, hordei dilutum. A renibus vero per urinam trahit elenii femen, et apii, piper, papaver, paftinaca, marrubium, cnicus, libanotidos femen, et gladioli, qui in tritico nafcuntur, radicum bryoniae cortex, gramen, defrutum, ova fepiae, fulfur, album cicer.

ΚΕΦ. νβ.

Ἐκ τῶν Ζωπύρου. Ὅσα ἀνάγει ἐκ 63) πλεύμονος.

Ἀνάγει δὲ καὶ ἐκ πλεύμονος ἔκλικτα 64) διδόμενα, καὶ καταπότια. κνίδης σπέρμα, καὶ λίνου, καὶ δαύκου, μήκωνος μελαίνης, θύμου, κισσοῦ λευκοῦ, ῥαφανίδος ἀπὸ χυλοῦ, νάπυος, ἀνήσου, σησάμου, καρδάμου, ἐρυσίμου, 65) σκίλλης, ὀρόβου, σικύου, μελανθίου, πεπέρεως, πηγάνου, πολίου, 66) κινναμώμου, ἄρον, δρακόντιον, κόστος, νάρδος, θεῖον, σμύρνα, δαφνίδων τὸ ἐντὸς, καππάρεως ῥίζης ὁ φλοιὸς, ἀμύγδαλα πικρὰ, γλυκυσίδη, καστόριον, ἀβρότονον, θρίδακος ὀπὸς, θαψία, στύραξ, βδέλλιον, σίλφιον, σταφὶς ἄνευ γιγάρτων, στροβι-

Ex Zopyro. Quae ex pulmone educunt. Cap. 52.

Educunt etiam e pulmone eclegmata, quae dari folent, et catapotia, et femen urticae, lini, dauci, papaveris nigri, thymi, hederae albae: fuccus raphani, finapis, anisi, fesami, nafturtii, eryfimi, fcillae, erui, cucumeris, melanthii, piperis, rutae, polii, cinnamomum, arum, dracontium, coftus, nardum, fulfur, myrrha, lauri baccarum pars interna, cortex radicis capparis, amygdalae amarae, poeonia, caftorium, abrotonum, lactucae liquor, thapfia, ftyrax, bdellium, filphium,

59) Alii fcribunt: σαφυλῖνος. σαφύλινος legitur etiam in Oribas. coll. med. ex Dioscoride lib. 12. fol. 179. pag. 1.

60) σίτῳ in margine additum.

61) Apud Oribas. lib. 12. fol. 172. pag. 1. ex Dioscoride legitur: ξύφιον (fic), οἱ δὲ φασγάνιον, διὰ τὸ τοῦ φύλλου σχῆμα — φύεται μάλιστα ἐν ἀρούραις. v. Diofcor. 4, 22. p. 472. ubi varia ejus nomina.

62) θᾶον in marg. legitur.

63) Idem, quod πνεύμονος. Sed haec nota funt. Vers. 16. ἀπὸ otiofum Rafar. neglexit.

64) Corrigendum ἐκλεικτά. Eadem etiam vocantur ἐκλείγματα. Utrumque eft ab λείχειν. Ἐκλείχειν habet Philo. p. 73. 320. 338. Latini dicunt ecligma et eclegma. Vulgo nunc *electuarium* appellant, fatis barbare. De καταπότια vide Erotian. p. 21. et Galen. in Gloss. p. 69.

65) De hoc, in hoc ipso Codice, libr. 15. fol. 223. pag. 1. Galenus ita habet: ἐρυσίμου τὸ σπέρμα, καθάπερ τῇ γεύσει παραπλήσιον φαίνεται καρδάμῳ, οὕτω καὶ τῇ δυνάμει πυρῶδές τε καὶ θερμαντικὸν ὑπάρχον.

66) In hoc Cod. fcribitur fere, πολιόν.

λια, ὀμφάκιον, ἀριστολοχία, χαλβάνη, πράσιον, ἠρυγγίου ἡ ῥίζα, κενταύριον. ὑποθυμιᾶται δὲ πρὸς τὴν αὐτὴν χρῆσιν ἄσφαλτος, σανδαράχη, κρίθινον ἄλευρον, ῥητίνη, σκίλλα ξηρά, ἐρύσιμον, κέδρινον ἔλαιον, ἐλατηρίου, σικύου καὶ κενταυρίου, μαράθου καρπός. πυρίας δὲ διὰ τῆς προσηκούσης μηχανῆς ποιοῦσι, λαγωοῦ τρίχες, σμύρνα, σικύου χυλὸς, γάλακτος ὀρὸς, 67) αἰγὸς, ὑὸς, ὀστράκων διαπύρων.

Κ Ε Φ. νϛ.

Ἐκ τῶν Ζωπύρου. Περὶ ἱδρωτικῶν.

Ἱδρωτικαὶ εἰσι δυνάμεις ἀπὸ τῶν δριμέων ἀρωμάτων, καὶ τὸ πέπερι, νίτρον, μύρον ἴρινον, βοὸς στέαρ, χρίσμα δάφνινον, κύπρινον, ἅλες, σαμψούχινον, 68) οἶνος, σταφὶς ἀγρία, κύμινον, ἄνησον, ἕρπυλλον, πόλιον, κνίδιος κόκκος, σισύμβριον, χαμαιλέων, 69) κόνυζα, δαύκου σπέρμα, ἀμμωνιακὸν, πράσιον, κασία, χαλβάνη, θεῖον ἄπυρον, χάλκανθον, ἀλκυόνιον, βδέλλιον, στρούθιον, πύρεθρον, ἀριστολοχία ἁπαλὴ, θέρμος, βάλσαμον, χαλκοῦ λεπίς.

vua fine acinis, pineae nuces paruae, omphacium, ariftolochia, galbanum, marrubium, heryngii radix, centaurium. ejufdem ufus caufa bitumen in fuffitu adhibetur: fandaracha, hordeacea farina, refina, fcilla arida, erylimum, oleum cedrinum. elaterium, cucumeris, centaurii, et foeniculi femen. faciuntque accommodata ratione fomenta leporis pili, myrrha, cucumeris fuccus, ferum lactis caprae, pecudifque in teftis igni candentibus.

Ex Zopyro. De eifdem. Cap. 56.

Medicamenta fudorem movendi vim ab acribus aromatibus nancifcuntur: hujusmodi quoque eft piper, nitrum, unguentum irinum, bubulus adeps, unguen laurnium, cyprinumque. fal, fampfuchinum, muftum, vua agreftis, cuminum, anifum, ferpyllum, polium, granum Cnidium, fifymbrium, chamaeleo, conyza, dauci femen, ammoniacum, marrubium, cafia, galbanum, fulfur, ignem non expertum, atramentum futorium, alcyonium, bdellium, ftruthium, pyrethrum, ariftolochia tenera, lupinus, balfamum, et fquama aeris.

67) Plerumque, ὀῤῥός.

68) Intelligitur in his ἔλαιον, aut, μύρον. γλεύκινον μύρον habet etiam Chrysoft. T. III. p. 613. e.

69) Galen. in Glossis p. 77. φύλλον τοῦ λευκοῦ χαμαιλέοντος. Et hic, et lib. 12 fol. 185. pag. 1. ex Dioscoride in hoc Codice fcribitur: χαμαιλέων, μέλας, ὃν ἔνιοι οὔλοφον, ἢ ἰξίαν, ἢ κυνόμαχον, ἢ ὠκιμοειδὲς ἐκάλεσαν. Mox tamen ibidem: ὠνόμασται δὲ χαμαιλέων, διὰ τὸ ποικίλον τῶν φύλλων. Vide Dioscor. 3, 8. 9. p. 332. 333.

ΚΕΦ. νη.

Ἐκ τῶν Ζωπύρου. Περὶ τῶν καυστικῶν καὶ σηπτικῶν, καθαιρετικῶν τε καὶ ἐπουλωτικῶν..

Ἑλκοῖ δ' ἐπιπολαίως 70) κυνὸς βάτου φύλλα, σεύτλου, βατραχίου, σκόροδον, γλήχων, ὕσσωπον, ὀρίγανον, σηπίας ὄστρακον, ἀσφοδέλου ῥίζα καὶ καππάρεως, κοτυληδόνος, ἱπποκαμπὲς 71) κεκαυμένον, σελίνου σπέρμα, καὶ τῶν ἀλυκῶν, καὶ δριμέων, καὶ πικρῶν, ὅσα ὅμοια δύναται, μετὰ τὸ παρατεθῆναι ἢ ἐπιχρισθῆναι μεῖναι χρόνον οὐκ ὀλίγον. εἰς δὲ τὰς καυστικὰς ἔοικε παραλαμβάνεσθαι, κανθαρὶς, πιτυοκάμπη, βουπρῆστις, 72) ἄσβεστος, διφρυγὲς, τρὺξ κεκαυμένη, ὄξος, ἀνεμώνη, ἡ τὸ φοινικοῦν ἄνθος ἔχουσα, σκόροδον, βατράχιον, τέφρα, συκίνη μᾶλλον, νίτρον ὀπτὸν, χαλκὸς κεκαυμένος, στυπτηρία, κήρυκος ὄστρακον κεκαυμένον, κεφαλὴ μαινίδος, χαμαίλεων τὸ ζῶον, ἀρσενικὸν, κάχρυ, σταφὶς ἀγρία, σαλαμάνδρα. 73) εἰς δὲ τὰς σηπτὰς τινα μὲν τούτων, καὶ ἔτι μέλας ἐλλέβορος, ἐλατήριον, σικύων ἀγρίων ῥίζα, σταφὶς, ὀπὸς, χαλκοῦ λεπὶς, ὤχρα, ἀνδράχνη, μήκωνος ὀπὸς, μανδραγόρας. τὰ δ' αὐτὰ ταῦτα καὶ τὰς ἐφ' ἕλκεσι νομὰς ἢ τὰς προσαγορευομένας ἐσχάρας ἵστησι.

Zopyri. De eisdem. Cap. 58.

Ulcus in summa cute inducunt rubi canini folia, betaeque, et ranunculi, allium, pulegium, hyssopum, origanum, sepiae testa; asphodeli radices, et capparis, et veneris umbilici. itemque hippocampus ustus, apii semen, caeteroque salsa, acria, et amara quaecunque possunt, ubi admota, aut illita fuerint, similia permanere diutius. Inter adurentia vero numerari videtur cantharis, pityocampe, buprestis, calx viva, diphryges, fex combusta, acetum, anemone, quae puniceo flore est, allium, ranunculus, cinis, et magis ficulnus. nitrum tostum, aes ustum, alumen, combusta buccinarum testa, moenularum caput, chamaeleon animal, auripigmentum, cachry, vua agrestis, sesamoides. Putrefacientibus adnumerantur quaedam horum, et praeterea veratrum nigrum, elaterium, cucumerum agrestium radix, vua, liquor, squama aeris, ochra, portulaca, papaveris liquor, mandragora. eadem quoque nomas in ulceribus, et crustas, quas vocant, sistunt.

---

70) Scribitur κυνόσβατος, κυνόσβατον. In Codice, et hic, et lib. 15. fol. 227. pag. 1. ex Galeno est: κυνὸς βάτου. Inter σηπτικὰ haec refert Galenus. v. Dioscor. 1, 108. p. 118. et Theocrit. Id. 5, 92. et ad eum locum Scholiastam.

71) Alibi legitur, ἱππόκαμπος, ut apud Diosc. 2, 3. p. 171.

72) Alii βούπρηστις. Galen. in Gloss. p. 68. βουπρῆστις, quem vide.

73) Sic paullo ante: εἰς δὲ τὰς καυστικάς. Forte hic: σηπτικάς. Sed istud etiam occurrit. Miror, cur non dixerit, καυστικά, σηπτικά. Intelligendum ergo erit δυνάμεις.

ΚΕΦ. ξα.

Ἐκ τῶν Ζωπύρου. Ὅσα ςύφει.

Στύφει δὲ μυρσίνης φύλλα καὶ ὀξυμυρσίνης, μηλέα, βάτος, ἀγριέλαιος, ἡμέρου θαλλοὶ, 74) ῥόδα, ἀμπέλου, σχίνου, φλομοῦ, κυπαρίσσου, ἀειμωνίου, 75) μήκωνος, ἀειζώου, κυτίνου ἄνθος, βαλαύςιον, ἀλόη, κυπρία σποδὸς, ἀκαλύφη, ὑπόκυςις 76) ἀγρία, 77) ἀχράδες, γίγαρτα, ἄπιοι, μῆλα, κρόκος, ἀλθαία, ἀςραγάλου ῥίζα, φλομοῦ, ἕλικες ἀμπέλου, μύρτα, μέσπιλα, τέρμινθος, δρυοπτερὶς, κρανία, ἐφήμερον, βάλανος ἡ δρυΐνη, ἀγρίου λαπάθου καρπὸς, ὑοσκύαμος καὶ τῆς γλυκυσίδης οἱ πυῤῥοὶ κόκκοι, κάςανον, κισσὸς, νυμφαία, φοίνικες ὠμοὶ, βέλτιον καὶ τὸ ἐπ' αὐτῶν ἄνθος τὲ καὶ καυλὸς, μήκωνος ῥίζα, ὠοῦ τὸ χλωρὸν ὀπτὸν, ἀκακίας χύλισμα, κύαμος αἰγύπτιος, ςαφύλινος, 78) νάρθηκος πάλαι, παλιοῦρος, 79) ἱππούρεως ῥίζα, λυσιμάχειον 80) βοτάνιον, ςυπτηρία, αἷμα πεπηγὸς, κυπερὶς, οἰνάνθη, κράμβη ἐξεψηθεῖσα, πιτύα λαγωοῦ, σπόγγος κεκαυμένος, ὄνωνις, φελλὸς, ῥάμνος, πεύκης φλοιὸς, πιτύος, καὶ ὁ καρπὸς, μυρίκη, ῥοῦς, ὃν ἐσθίομεν, αὐςηρὸς οἶνος ἀθά-

Zopyri. Quae adſtringunt. Cap. 61.

Adſtringunt vero myrti folia, itemque oxymyrſines, melus, rubus, oleaſter, olivae cultae rami, roſae, vitis, lentiſcus, verbaſcum, cupreſſus, ſemperuiuum, papaver, ſempermanens, punicorum flores, balauſtium, aloë, Cyprium ſpodium, urtica, hypociſtis agreſtis, achrades, acini, pira, mala, crocus, althaea, aſtragali radix, et verbaſci: claviculi vitis: myrti baccae, meſpila, terebinthi fructus, dryopteris, corna, ephemerum, glans quercina, agreſtis lapathi fructus, altercum, et paeoniae rufa grana, caſtaneae, hedera, nymphaea, palmulae crudae melius, earumque flos, et caulis: papaveris radix, ovi vitellus aſſus, acaciae expreſſio. faba Aegyptia, paſtinaca, ferulae pollen, paliurus, caudae equinae radix, lyſimachia herba, alumen, ſanguis concretus, cyperis, oenanthe, braſſica percocta, leporis coagulum, ſpongia combuſta, ononis, ſuber, rhamnus, piceae cortex, pinique, et fructus, myrica, rhus, quo veſcimur, vinum auſterum, mari non

74) θαλλοὶ, in margine.

75) Hoc legere, non recordor. Saltem ἀειμονίου ſcribendum videtur ἀείζωον μέγα καὶ μικρὸν nota ſunt. Sed hoc mox legitur. Forte *ſemperflorium* hic intelligitur. Sed id non eſt ἀειμώνιον, nec ἀειμόνιον. Deberet praeterea eſſe, ἀειμόνιμον. Forte ſcriba iſtud ἀει ex proximo ἀειζώου occupavit, cum ſcribere debuerit, ἀμμωνικοῦ.

76) Ita bis legitur ex Diosc. in hoc ipso Codice fol. 183. pag. 2. Alii, ὑποκιςὶς, alii ὑποκιςίς.

77) Vide interpretes ad Aelian. V. H. 8, 39. et Schol. ad Theocr. Id. 1, 134.

78) Vide notam 59.

79) Alii παλίουρος. Hic quoque eſt duplici accentu.

80) Alibi, λυσιμάχιον.

λασσος, σέμφυλα. στύφει δὲ καὶ τῶν ἐπεσχαρούντων ἔνια, ὡς τὸ διφρυγὲς χαλκῖτις, μίσυ, καδμία, χαλκὸς κεκαυμένος. πᾶσα δὲ ῥύσις διὰ τούτων κατέχεται, πλὴν ἡ διὰ τῶν οὔρων.

ΚΕΦ. ξβ.

Ὅσα διαφορεῖ.

